UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Scholia in Sophoclis tragoedias vetera

### Sophocles

### Lipsiae, 1888

Εἰς Ἠλέκτραν

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-5413

Visual Library

# ΕΙΣ ΗΛΕΚΤΡΑΝ.

ἀπειρόκαλον τὸ λέγειν ὅτι ὃν τρόπον τὰ κατὰ Fol. 17 a
μέρος τῆς Ἰθάκης ἡ Ἀθηνᾶ ἔδειξε τῷ Ὀδυσσεῖ οὕτως ἔδει καὶ τὸν παιδαγωγὸν τῷ Ὀρέστῃ δεῖξαι· τῷ μὲν γὰρ ἀγνοοῦντι δείκνυσιν ὁ παιδαγωγὸς τῷ δὲ ἀπιστοῦντι ἡ Ἀθηνᾶ· ἅπαντα δὲ ἡμῖν φιλοτέχνως ἐν βραχεῖ δεδήλωκεν ὁ ποιητής, τὸν τόπον τῆς σκηνῆς, τὸν τρόπον ὡς παρέλαβεν αὐτὸν παρὰ τῆς ἀδελφῆς καὶ πρὸς τὸν Στρόφιον ἐξέθετο, τὸν καιρὸν ἐν ᾧ πάρεισιν εἰς τὰς Μυκήνας, τὸν συνόντα ὅτι Πυλάδης· φησὶ γὰρ ὑποκατιὼν

Πυλάδη, τί χρὴ δρᾶν ἐν τάχει βουλευτέον.

1 ὦ τοῦ στρατηγήσαντος: πολλάκις παρατηροῦμεν ὅτι οἱ παλαιοὶ τὰ συνεκτικὰ τῶν ὑποθέσεων ἐν ἀρχαῖς ἡμῖν δηλοῦσιν· καὶ νῦν δηλοῖ πρὸς τίνα ὁ λόγος ὅπερ ἦν ἀναγκαῖον πρόσωπον.

στρατηγήσαντος] γράφε τυραννήσαντος.

2 προσοχὴν ὁ λόγος ἀπεργάζεται σκοπούντων ἡμῶν τί δή ποτε προθυμεῖται τὴν πόλιν ἰδεῖν.

---

3 ἡ Ἀθηνᾶ ἔδειξε κ. ἑ.] Od. ν 344—351. — 12] v. 16. — 13 παρατηροῦμεν] v. schol. Ai. init.

4 τὸ γὰρ παλαιὸν Ἄργος: Ἄργος ὁμωνύμως τῇ χώρᾳ ὡς Ὅμηρος

Ἄργος τε Σπάρτη τε·

παλαιὸν δὲ ἢ ὅτι Ἄργος ὁ προπάτωρ αὐτῶν γηγενὴς ἦν ἢ ὅτι καὶ αὐτοὶ πρωτογενεῖς ἀντιποιοῦνται εἶναι· ἔτι δέ ἐστι καὶ τὸ περὶ τοῦ πυρὸς μέχρι τοῦ νῦν δεικνύμενον καὶ λεγόμενον ὡς ἀπ' οὐρανοῦ πρῶτον ἐκεῖσε κατηνέχθη.

Ὅμηρος χωρίζει τὸ Ἄργος καὶ τὴν Μυκήνην, οἱ δὲ νεώτεροι τὴν αὐτὴν Μυκήνην καὶ Ἄργος φασίν.

6 αὕτη δ', Ὀρέστα, τοῦ λυκοκτόνου: οὐκ ἀπ' ἄλλου τινὸς ποιεῖται τὴν δεῖξιν ἢ ἀπὸ τοῦ ἱεροῦ τοῦ Ἀπόλλωνος ὅπερ ἀρχαιότατόν ἐστι κατὰ τὴν ἐν τῷ Ἄργει ἀγορὰν ἐν ᾧ καὶ πῦρ ἀπόκειται περὶ οὗ πρόσθεν εἰρήκαμεν, ἔστι δὲ καταντικρὺ τοῦ Νεμεαίου Διός· παραγενόμενοι οὖν εἰς Ἄργος ὁ τροφεὺς δείκνυσιν αὐτῷ τὴν πόλιν λέγων ⟨ἣ⟩ ἔστιν οὐκ ἄπωθεν τῶν Μυκηνῶν ἀλλ' ἐξ ἀπόπτου φαίνεται καὶ τὸν ναὸν τῆς Ἥρας ἐξ ἀριστερᾶς ὄντα Μυκηνῶν τοῖς ἀπὸ Κορίνθου εἰσιοῦσι· λυκοκτόνον δὲ τὸν Ἀπόλλωνα οἱ μὲν διὰ τὸ νόμιον εἶναι ⟨καὶ τὴν τῶν βοσκημάτων φυλακὴν ποιούμενον⟩ τοὺς ἐπιβούλους αὐτῶν φονεύειν διὸ καὶ λύκους αὐτῷ φασι θύεσθαι ἐν Ἄργει οἱ δὲ διὰ τὸ ἱερὸν εἶναι τὸ ζῷον ὡς καὶ τῆς Ἀρτέμιδος τὰς ἐλάφους ὅθεν καὶ τῷ νομίσματι τῶν Ἀργείων

---

3 Il. δ 52. — 6 ἔτι] ὅτι L, corr. H. — 9 Ὅμηρος] Il. δ 52, alibi. — 14 πρόσθεν] in schol. v. 4. — 15 νεμαίου L, corr. Wunderus. — 17 ἣ addidit G. — 21 καὶ — ποιούμενον] addidit Hesychius v. λυκοκτόνου θεοῦ: Ἀρίσταρχος διὰ τὸ τὸν θεὸν τὴν — ποιούμενον ἀναιρεῖν τοὺς λύκους. — 23 φασι] φησι L, corr. Br. — 24 τὸ ζῷον] αὐτοῦ addidit Br.

ἐγχαράττεσθαι ⟨τὸν⟩ λύκον ὡς καὶ τὰς γλαῦκας Ἀθήναζε.

7 οὐξ ἀριστερᾶς: ἔστι γὰρ ἐξ ἀριστερᾶς τῶν Μυκηνῶν τοῖς ἀπὸ Κορίνθου εἰσιοῦσιν Ἥρας ναός, ἐκ Φωκίδος δὲ παραγενόμενοι διὰ Κορίνθου πεποίηνται τὴν ὁδόν.

9 τὰς πολυχρύσους] Ὅμηρος

πολυχρύσοιο Μυκήνης.

10 πολύφθορον] ἐν ᾧ πολλαὶ φθοραὶ καὶ φόνοι ἐγένοντο.

13 ἤνεγκα] ἐκ τούτου τὴν ἡλικίαν τοῦ νέου σημαίνει.

τὸ ἤνεγκα τὸ βραχὺ τῆς ἡλικίας δηλοῖ ὡς περὶ παιδαρίου οὔ τι βαδίσαι δυναμένου.

19 μέλαινά τ' ἄστρων: ἐχρῆν οὕτως εἰπεῖν, μελαίνης νυκτὸς τὰ ἄστρα ἐκλέλοιπεν ὡς τὸ

ὁ δὲ χασσάμενος πελεμίχθη

ἢ οὕτως, ἐκλέλοιπε τῶν ἄστρων ἡ μέλαινα εὐφρόνη ἵν' ᾖ τὸ ἄστρων πρὸς τὸ ἐκλέλοιπεν.

22 ἀκμή: σπουδή· πιθανῶς δὲ ἐγείρει τὸν ἀκροατὴν προσέχειν τοῖς ἔργοις ἃ ταχέως συμβουλεύει τελεσθῆναι.

23 διδάσκει ἡμᾶς μεθ' οἵων ἀνδρῶν δεῖ τὰ ἀπόρρητα ποιεῖν καὶ λέγειν.

24 σημεῖα φαίνεις κ. ἑ.] τοῦ εἶναι πιστὸς εἰς ἡμᾶς.

26 ἐν τοῖσι δεινοῖς] ἐν τοῖς πολέμοις.

---

1 τὸν] evanuit in L, habent G, V. — 4 Μυκηνῶν] μυκήν̃ * L. — 8 Il. η 180, al. — 17 Il. δ 535, al. — 19 ἢ τὸ] ἢ τῶν L, corr. V.

28 ἔπῃ] . . . ἔσῃ διὰ τὴν ἀπὸ τοῦ γήρως εὐβουλίαν.

Fol. 17b 31 εἰ μή τι καιροῦ τυγχάνω: εἴ τί σοι δοκῶ μὴ καλῶς βεβουλεῦσθαι μεθάρμοσον ὅ ἐστιν ἐπανόρθωσον· ἔστι δὲ ἀγάσασθαι τὸν νεανίσκον ὅτι μὴ πάνυ αὐθέκαστος φαίνεται.

32 διὰ τῆς διηγήσεως ταύτης τὸ λεῖπον τῆς ἱστορίας προσανεπλήρωσεν ἡμῖν.

35 χρῇ] μαντεύεται.

36 ἄσκευον αὐτὸν] ἢ αὐτὸν τὸν Αἴγισθον ἀπαρασκεύαστον ὄντα ἢ τὸν Ὀρέστην οἷον μὴ μετὰ πολέμου ἐπεμβῆναι.

39 ὅταν σε ὁ καιρὸς καλῇ.

40 περιέργασαι τὰ πραττόμενα πάντα.

42 τοῦ πιθανοῦ χάριν.

τὸ μὴ Ἀττικῶς πλεονάζει.

οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ: τινὲς τὸ ἠνθισμένον ἐπὶ τῆς κεφαλῆς ἤκουσαν οἷον ταῖς πολιαῖς ἠνθισμένον, τοῦτο δὲ ἀπίθανον· ἐγνώσθη γὰρ ἂν εἰ καὶ τοσοῦτον ἤλλαξεν τὴν κεφαλήν· δοκεῖ οὖν μοι τὸ ἠνθισμένον ἀντὶ τοῦ ἠσκημένον, οὐ μὴ [οὖν] σε ἐπιγνῶσι τοιαῦτα πλαττόμενον· εἰ δὲ τὸ ἠνθισμένον ἐπὶ ἡλικίας δεξαίμεθα ἔστιν οὐκ ἐπὶ τῶν τριχῶν ἀλλ' ἐπὶ παντὸς τοῦ σώματος.

45 Φωκεύς: τὸν Φωκέα προθεὶς ἐπήνεγκεν Φανοτέα ἀπὸ τοῦ ὅλου εἰς τὸ μερικὸν καταβαίνων ὁμοίως τῷ

---

1 . . .] Δ$^{χ}$ι L, Δίδυμος M. Schm. fragm. p. 270, δηλονότι Wolffius, πρῶτος Dind.; cf. schol. Ai. v. 1225. — 13 ὅταν σε ὁ καιρὸς καλῇ] καιρὸς γὰρ καλεῖ legitur Phil. v. 466. — 14 τὰ πραττόμενα πάντα] τὸ πραττόμενον G. — 21 οὖν inclusi. — 25 προσθεὶς L, corr. Br.

ἡ δ' ἐς Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη
ἐς Πάφον·

ἐλέγοντο γὰρ ὁλοσχερέστερον μὲν Φωκεῖς ἐπὶ μέρος δὲ Κρισαῖοι, Φανοτεῖς· τινὲς δὲ ὄνομά φασι τὸ Φανοτέως.

46 δορυξένων: ἀντὶ τοῦ φίλων· κυρίως δὲ οἱ ἐν πολέμῳ γινόμενοι φίλοι ὡς Γλαῦκος καὶ Διομήδης.

47 ἄγγελλε δ' ὅρκῳ: μὴ σμικρολόγως τις ἐπιλάβηται ὡς κελεύοντος ἐπιορκεῖν τοῦ ποιητοῦ· δεῖ γὰρ αὐτὸν πείθεσθαι τῷ θεῷ τὸ πᾶν δόλῳ πράσσειν παρακελευομένῳ ὥστε ἐν οἷς δοκεῖ ἐπιορκῶν δυσσεβεῖν διὰ τούτων εὐσεβεῖ πειθόμενος τῷ θεῷ· ἔχει δὲ ἀξιοπιστίαν ὁ λόγος ὡς ἐν Φωκίδι τρεφόμενον καταβῆναι ἐς τὰ Πύθια· ἀνῆκται δὲ τοῖς χρόνοις· ἐπὶ Τριπτολέμου γάρ φασι γενέσθαι Πυθικὸν ἀγῶνα ἑξακοσίοις ἔτεσι πρότερον.

48 ἐξ ἀναγκαίας τύχης: βιαίως οἷον ἀναγκαστῷ μόρῳ καὶ οὐκ ἐκ ταὐτομάτου, ἐκ βίας, ἐκ δυστυχίας, οὐκ ἰδίῳ θανάτῳ.

49 τοῖς χρόνοις ἀνῆκται· νεώτερος γὰρ Ὀρέστου ἐστὶν ὁ Πυθικὸς ἀγών.

---

1 Od. ϑ 362 ubi ἡ δ' ἄρα Κύπρον. — 3 μέρους V. — 7 Γλαῦκος καὶ Διομήδης] Il. ζ 232. — 11 ἐπιορκεῖν L, corr. Lasc. — 14 ἐς τὰ Πύθια] ἐν τῇ πυθίᾳ L, corr. V; cf. schol. Trach. v. 503. ἐπὶ κ. τ. λ.] „novum incipit scholion“ Wolf.; Εὐρυλόχου pro Τριπτολέμου ex hypoth. Pind. Pyth. Neuius (τὸν Πυθικὸν ἀγῶνα διέθηκεν Εὐρύλοχος ὁ Θεσσαλός), ἐπὶ Τρωικοῦ πολέμου (a. 1184) γάρ φασι γενέσθαι (Ὀρέστην) Πυθικοῦ ἀγῶνος (582) ἑξακοσίοις ἔτεσι πρότερον Adolfus Michaelis. — 18 συντυχίας (·δυσ· suprascr.) L; cf. schol. Ai. v. 485. 803. — 20 excidit χ; cf. schol. Aristoph. Pac. v. 990 τὸ χ ὅτι οὐ συμφωνεῖ τοῖς χρόνοις. νεώτερος] institutus Ol. 48; cf. schol. v. 682.

50 ὧδ' ὁ μῦθος ἑστάτω: ἡ ἔκβασις τοῦ λόγου ἢ τὸ κεφάλαιον· πιθανὸν δὲ τὸ ἐν Φωκίδι ἀνατραφέντα Πύθια ἀγωνίζεσθαι.

δεδόχθω.

51 ὡς ἐφίετο] ὁ Ἀπόλλων δῆλον ὅτι, ὡς ἐκέλευεν.

52 λοιβαῖσι πρῶτον καὶ καρατόμοις: καὶ τοῖς ἀπὸ κρατὸς τετμημένοις βοστρύχοις· λέγοι δ' ἂν χλιδὰς ἤτοι καθόλου τοὺς πλοκάμους οἵ εἰσι τρυφὴ τῆς κεφαλῆς ἢ παρ' ὅσον τρυφὴ καὶ κόσμος ἀπετίθεντο τοῖς νεκροῖς οἱ πλόκαμοι ἐν τῷ τάφῳ.

54 τύπωμα χαλκόπλευρον] τὴν ὑδρίαν ἐν ᾗ δῆθεν τὰ δοκοῦντα εἶναι ὀστέα Ὀρέστου ἀπέκειτο.

τὸ ἄγγος.

56 κλέπτοντες] ἀπατῶντες, παραλογιζόμενοι· Ὅμηρος

κλέπτε νόῳ.

62 ἤδη γὰρ εἶδον πολλάκις: Πυθαγόρας καθείρξας ἑαυτὸν ἐν ὑπογείῳ λογοποιεῖν ἐκέλευσε τὴν μητέρα ὡς ἄρα τεθνηκὼς εἴη καὶ μετὰ ταῦτα ἐπιφανεὶς περὶ παλιγγενεσίας καὶ τῶν καθ' Ἅιδου τινὰ ἐτερατεύετο διηγούμενος πρὸς τοὺς ζῶντας περὶ τῶν οἰκείων οἷς ἐν Ἅιδου συντετυχηκέναι ἔλεγεν ἐξ ὧν τοιαύτην ἑαυτῷ δόξαν περιέθηκεν ὡς πρὸ μὲν τῶν Τρωικῶν Αἰθαλίδης ὢν ὁ Ἑρμοῦ, εἶτα Εὔφορβος, εἶτα Ἑρμότιμος, εἶτα Πύρρος ὁ Δήλιος, εἶτα ἐπὶ πᾶσι Πυθαγόρας· εἰς τοῦτο

---

2 ἀνατρεφόμένὺτα πύθια deletis όμ et compendio L, corr. G, F. — 16 Il. α 132. — 17 Πυθαγόρας κ. ἑ.] cf. similem enarrationem de Zamolxide Herod. IV, 95. — 19 εἴη] ἔοι L, corr. Lasc. — 24 Ἑρμότιμος] ὁ Σάμιος addunt E (Paris. 2284), Suid. v. ἤδη. — 25 Πύρρος] πύθιος L, corr. Br. e Diog. L. 8, 5; cf. Porphyr. vit. Pythag. 45. τοῦτο] τοῦτον G.

οὖν ἔοικεν ἀποτείνεσθαι ὁ Σοφοκλῆς· ἔνιοι δὲ οἴονται ἀπιθάνως εἰς Ὀδυσσέα ἀποτείνεσθαι· οὐ γάρ πέπρακταί τι τοιοῦτον Ὀδυσσεῖ· ἐφυλάξατο δὲ ὀνομάσαι τὸν ἄνδρα· καὶ μὴ τῶν θαυμαστῶν εἶναι δόξῃ ⟨εἰ⟩ ἐν τραγῳδίᾳ καὶ μύθῳ παλαιῷ τετόλμηκέ τι κακόηθες εἰπεῖν καὶ προσκρουστικὸν εἰς τοὺς καθ' ἑαυτὸν ὃ μᾶλλον ἥρμοζε κωμῳδίᾳ.

68 δέξασθέ μ' εὐτυχοῦντα: ἐπ' εὐτυχίᾳ με δέξασθε ὥστε ταύτας τὰς ὁδοὺς τελεσθῆναι.

εὐτυχῶς ἐπιχειροῦντα ταῖς μηχαναῖς.

70 δίκῃ καθαρτής: τὰ εἰς της ἔχοντα τὴν παρατέλευτον εἰς ἀμετάβολον λήγουσαν ἀπρόσληπτα ὄντα τοῦ σ κατὰ τὴν γενικὴν βαρύνονται εἰ μὴ εἴη μετοχικά, ὑφάντης, ἀγύρτης, εὐφράντης, τὸ δὲ ἑκοντὴς καὶ ἐθελοντὴς μετοχικά· παρὰ δὲ Ἀττικοῖς ὀξύνεται τό τε καθαρτὴς καὶ ἀμυντὴς ἐπὶ τοῦ βοηθοῦ, φαιδρυντής, ποικιλτής, καλλυντής, πραΰντής.

72 ἀρχέπλουτον] ἄρχοντα ⟨τοῦ⟩ πλούτου καὶ τὴν ἀρχαίαν τύχην ἀποληψόμενον.

75 ἐξιέναι βούλονται διὰ τὴν εἴσοδον τοῦ χοροῦ. Fol. 18 a

καιρὸς γὰρ ὅσπερ ἀνδράσιν: ἐφ' ἑκάστου πράγματος τὸ καίριον καὶ χρησιμώτατόν [ὁ καιρὸς] ἐστιν ὅπου καὶ τὰ σπουδαῖα παρὰ καιρὸν γινόμενα οὐκ ἀποδέχονται ὡς ἰατρὸν τῷ κάμνοντι περὶ τῆς φύσεως τοῦ νοσήματος διαλεγόμενον, ὡς εἴ τις τοῖς μεθύουσι περὶ σωφροσύνης διαλέγοιτο.

78 καὶ μὴν θυρῶν ἔδοξα: θαυμαστῶς ὁ γέρων

---

2 οὐ] οὕτω L, corr. G, V. — 4 εἰ addidi. — 5 τετολμηκ* τι L, corr. V. — 8 με δέξασθαι L, corr. Lasc. — 11 τὰ εἰς της κ. ἑ.] Herodiani καθολ. προσῳδ. γ' ed. Lentzii I p. 77, 23. — 17 καλλυντὴς] ψάλτης L, corr. etym. m. p. 436, 1. — 18 τοῦ addidi. — 22 ὁ καιρὸς delevit Otto Hensius.

οὐκ ἐπιβέβηκεν τῷ ἀληθεῖ, τούτου δὲ ἀποστῆσαι βουλόμενος τὸν Ὀρέστην προσπόλων τινός φησιν.

τὸ ἑξῆς, ἔνδον θυρῶν.

80 ἆρ' ἐστὶν ἡ δύστηνος: ὑπὸ νεότητος Ὀρέστης παράγεται φιλοπευστεῖν, ὁ δὲ πρεσβύτης τὸ χρήσιμον σκοπεῖν ἀναγκάζει.

81 κἀνακούσωμεν] ἐπακούσωμεν.

82 μηδὲν πρόσθεν: ἅμα μὲν εἰς τὸ χρήσιμον συμβουλεύει πείθεσθαι τῷ θεῷ ἅμα δὲ καὶ πρὸς τὴν ὑπόθεσιν· διελύθη γὰρ ἂν τὸ πᾶν ἐξ ἀρχῆς μηνυθέντος Ὀρέστου.

86 ὦ φάος ἁγνόν: ὀλόφυρσίς ἐστι τῆς Ἠλέκτρας ἐν ταῖς μονῳδίαις ὅπερ σύνηθες τοῖς τραγικοῖς κινητικὸν τοῦ πένθους· τοῦτο δὲ τὸ πρόσωπον εὔνουν ἐστὶ τῷ ἀποθανόντι· ἐπεὶ δὲ ἀηθές ἐστι πρὸς τοὺς θεατὰς ἢ πρὸς ἑαυτὴν ταῦτα διαλέγεσθαι ὡς ἀπομεμφομένη τοῖς θεοῖς ἢ μάρτυρας τῶν θρήνων καλοῦσα πρὸς τὰ στοιχεῖα ποιεῖται τὸν λόγον καὶ οὕτως ἡμῖν δηλωθήσεται ὅπως διέκειτο ἐπὶ τῷ συμβάντι κατὰ τὸν πατέρα· ἰσόμοιρον δέ φησιν εἶναι τὴν γῆν τῷ ἀέρι παρ' ὅσον παρατείνειν ἀλλήλοις τὰ στοιχεῖα πρέπει· καὶ τοῖς φιλοσόφοις ἴσος δοκεῖ εἶναι κατὰ τὴν ἀνάλυσιν ὁ ἀὴρ τῇ γῇ· συνέστραπται γὰρ ἡ γῆ· εἰ δὲ διαλυθῇ ἰσωθήσεται αὐτῷ· οὕτως ἔχει καὶ τὸ Ἡσιόδειον

> γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
> οὐρανόν·

ἰσόμοιρον δὲ γῆς ἀέρα τὸν σκότον φησὶν ἵνα τὸ φάος

---

1 τούτου] τ† . . . posito in margine ζήτει L, correxi coll. schol. Ai. v. 499. Oed. Col. 1195. — 22 τῇ γῇ] τῆς γῆς L, corr. H. — 25 Theog. v. 126.

ἁγνὸν ἀντιδιαστέλληται· καὶ γῆς, φησίν, ἰσόμοιρος ἀὴρ ἴσην μοῖραν ἔχων τῇ γῇ· πανταχοῦ γάρ ἐστιν ἀήρ· ἢ ὅτι γῆ καὶ ἀὴρ στοιχεῖα, ἰσότιμα δὲ τὰ τέσσαρα στοιχεῖα ἀλλήλοις· τινὲς δὲ ὅτι μέση ἀέρος ἐστὶν ἡ γῆ διὰ τὰ ἀπὸ κέντρου διαστήματα· ἰσόμοιρος οὖν διὰ τὸ ἴσον ἀπέχειν πανταχόθεν τῆς γῆς· καὶ ταῦτα δὲ Φερεκράτης παρῴδηκεν· τὸ δὲ ἀὴρ τὸ α συνέστειλεν διὰ ῥυθμὸν ἢ μέτρον.

87 ὥς μοι | πολλὰς μὲν θρήνων: ὦ φάος ἁγνόν, ὅσα μοι σύνοιδας θρηνούσῃ καὶ κοπτομένῃ· τὸ δὲ κατάλληλον οὕτως, ὡς πολλὰς μὲν ᾠδὰς ⟨τῶν θρήνων⟩ ᾔσθου πολλὰς δὲ πληγὰς αἱμασσομένων τῶν στέρνων, πληγὰς ἀντήρεις· τραγικώτερον δέ πως ἀπήγγελται ὥστε τὴν διάλυσιν αὐτῶν μὴ πάνυ πολιτικὴν εἶναι· μετῆκται δὲ ἀπὸ τῶν ἐρεσσόντων οἷον πληγὰς κατὰ τὸ ἐναντίον τῶν στέρνων ἐλαυνομένας.

89 ἀντήρεις: ἀντιθέτους ἀντὶ τοῦ ἴσας τοῖς θρήνοις· μετῆκται ⟨δὲ⟩ ἀπὸ τῶν ἐρεσσόντων ὅταν κατ' ἴσον ἐρέσσωσιν καὶ μὴ εἰς θάτερον περιωθῆται ἡ ναῦς· ἀντήρεις οὖν ἀντικτυπούσας τοῖς θρήνοις· θρηνοῦσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον.

ᾔσθου] ἀντὶ τοῦ ἔμαθες.

90 διὰ τούτων ἡ ἐπίτασις.

91 ὁπόταν δνοφερά: ὅσα μέν, φησί, διὰ νυκτὸς κλαίω αἱ εὐναὶ ἴσασιν ὅσα δὲ δι' ἡμέρας ὁ ἀὴρ καὶ

---

2 ἔχων] ἔχον L, corr. Lasc. — 3 ἰσότιμα δὲ] ἰσότιμα γὰρ L, correxi. — 6 καὶ ταῦτα] sc. ut versum 2 Macho apud Athen. XIII p. 579 a et v. 7 Agenis ibid. p. 595 f. Φερεκράτης] Meinek. fragm. LXXXII (II p. 357); Pherecrates riserat totum locum ὦ φάος — ᾔσθου. — 11 τῶν θρήνων add. G. — 18 δὲ add. Suid. v. ἀντήρεις. — 19 περιωθεῖται L, corr. Suid., Hesych. v. ἀντήρεις. — 21 πρὸς ἕκαστον] sc. θρῆνον.

τὸ φῶς, λέγει δὲ ὅτι οὐ διαλείπω οὔτε νυκτὸς οὔτε ἡμέρας κλαίουσα.

ὑπολειφθῇ] παρέλθῃ.

94 ὅσα τὸν δύστηνον: κατὰ βραχὺ ἐνδείκνυσι τὰ τῆς ὑποθέσεως· ἰδοὺ γὰρ ἔγνωμεν ὅτι ἀδελφὴ τοῦ Ὀρέστου καὶ διὰ τί θρηνεῖ.

95 ὃν κατὰ μὲν βάρβαρον: παρὰ τὸ ὑπὸ Ἀγαμέμνονος ἐν τῇ Νεκυίᾳ

οὔτε μ' ἀνάρσιοι ἄνδρες

καὶ τὰ ἑξῆς· πάνυ δὲ περιπαθὴς ὁ λόγος εἰ καὶ πολεμίων πικροτέρα ἐφάνη Κλυταιμήστρα τῷ ἰδίῳ ἀνδρί· πάνυ γὰρ περιπαθὲς τὸ ἐπὶ τηλικούτου καὶ τοσαῦτα διαπραξαμένου [τὸ] εἰπεῖν

ὅπως δρῦν ὑλοτόμοι·

οὐκ ἐξένισεν δὲ ἀντὶ τοῦ οὐκ ἀπέκτεινεν· ξένια γὰρ Ἄρεως τραύματα ⟨καὶ⟩ φόνοι· καὶ Ἀρχίλοχος

---

8 *νεκύα* L, corr. Lasc. — 9 Od. λ 408. *οὔτέ με* L. — 11 *Κλυταιμήστρα*] sic, non *Κλυταιμνήστρα*, constanter L in scholiis et in textu Sophoclis (Electr. v. 1368. 1473) et Aeschyli (Agam. v. 84. 270. 276. 590. Choeph. 881. Eumen. 116); solam hanc antiquam et veram esse nominis formam primus demonstravi in dissertatione inscripta „*Κλυταιμήστρα* non *Κλυταιμνήστρα*“ (Berol. 1885 apud Calvarium) ex etym. m. p. 521, 18: *παρὰ τὸ κλυτὸν — καὶ τὸ μήδω γίνεται — ἡ ἔνδοξα φροντίζουσα* (cf. *Κλυτομήδης*, *Πολυμήστωρ*), poetarum etymologiis Hom. Od. λ 429 *οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικές*, Aesch. Agam. v. 1085 *τί ποτε μήδεται — μήδεται κακόν*, Choeph. v. 989 *ἐμήσατο* (= *Μήστρα*, non *Μνήστρα*, apud Tzetzam Lyc. 1393 al.) *ἐπ' ἀνδρὶ στύγος*, inscriptionibus veteribus (corp. num. 6195, III p. 879. 7701, IV p. 144 = Soph. Electr. ed. Michael. p. 148. 175); de Clytaemestra disputavit Ritschelius opusc. phil. II p. 497—498. 502. 517 ed. Ribb.; *Ὑπερμήστρα* (Hypermestra Ovid. Heroid. XIV, 1, al.) legitur in scholio Aesch. Sept. v. 556 (ed. Weckl. p. 159) et apud Ant. Liber. 17. — 13 *τὸ* delevit Br. — 14] v. 98. — 16 *καὶ* add. Suid. v. *ἐξένισεν*.

ξείνια δυσμενέσιν λυγρὰ χαριζόμενοι.

πάνυ περιπαθῶς πικροτέραν γενέσθαι τῷ Ἀγαμέμνονι καὶ πολεμίου καὶ ἀλλοδαπῆς τὴν Κλυταιμήστραν.

101 ἣ 'μοῦ φέρεται: εἰ δὲ καὶ τὰ τῆς Χρυσοθέμιδος παράκειται αὕτη γε διὰ τὸ πάνυ ἀλγεῖν οὐδένα κατ' ἀξίαν φροντίζειν τῶν γεγονότων οἴεται ἣ μόνην αὐτήν.

102 ἀδίκως οἰκτρῶς: ἔν τισιν ὑπόκειται ἀντὶ τοῦ ἀδίκως ἀεικῶς· καὶ οἰκτρῶς μὲν διὰ τὸ βίᾳ καὶ ἐπιβουλευθέντα ἀεικῶς δὲ ὅτι πελέκει αὐτὸν μεθ' ὕβρεως ἐτίσατο.

103 ἀλλ' οὐ μὲν δὴ | λήξω: ὁ νοῦς, ἀλλ' οὐ λήξω θρήνων οὔτε ἡμέρας οὔτε νυκτὸς ὀδυρομένη ἕως ἂν νύκτα καὶ φῶς βλέπω ὥστε μὴ ἀηδόνος τρόπῳ ἠχώ τινα προπέμπειν τῶν θρήνων πρὸ τῶν πατρῴων θυρῶν.

108 τὴν ἐπὶ κωκυτῷ ἠχὼ τουτέστι θρηνητικήν.

111 πόντι' ἀρὰ] γράφε ποινία ἀρά.

112 σεμναί τε θεῶν: εὐφήμως ὡς καὶ τὸ Εὐμενίδες.

119 μούνη γὰρ ἄγειν: ἢ τὸ καταβαροῦν ⟨με⟩ καὶ Fol. 18 b
καταφερόμενον, ὃ φέρειν οὐ δύναμαι ἢ ἐπὶ τοῦ Ὀρέστου ἀκούειν δεῖ οὕτως τὸ ἀντίρροπον, ὅπερ ἂν εἶχεν ἐκεῖνος φέρειν παρὼν ὥστε κοινῇ ἡμᾶς αὐτὸ φέρειν· μόνη γὰρ φέρειν οὐκέτι ἰσχύω.

---

1 Bergk. fr. 7; ξένια L, corr. Suid. v. ἐξένισεν. δυσμενέεσσι L, corr. H, Suid. v. ἐξένισεν et ξένια. — 3 πολεμίου] πολέμου L, corr. Trendelenburgius. — 9 τισιν] τ† L, ἐν τῷ ὑπομνήματι κεῖται O. Iahnius coll. schol. v. 451. 488. Ant. 523. 1326. τοῦ] serius additum. — 10 ἀεικῶς] ἀικῶς (αἰκῶς Herm.) Br. — 12 ἐτίσαντο G, Suid. v. ἀεικῶς. — 17 θρηνητικῶν L, corr. Elmsl. — 20 με add. Suid. v. σωκῶ.

σωκῶ] ἀντὶ τοῦ ἰσχύω, οἱ δὲ νεώτεροι ἀντὶ τοῦ σῴζω.

121 ἰὼ παῖ, παῖ: πάροδός ἐστι χοροῦ γυναικῶν τῇ Ἠλέκτρᾳ συναχθομένων· δυστανοτάτας δὲ τῆς ἐξωλεστάτης· οὐ γὰρ ἐπὶ οἴκτου ἐστὶν ὁ λόγος.

122 τίν' ἀεὶ | τάκεις;] ἀντὶ τοῦ διὰ τί τήκῃ τῇ ἀκορέστῳ οἰμωγῇ;

124 ἀθεωτάτας] ἀσεβοῦς.

125 ματρὸς ἁλόντ' ἀπάταις] μητρὸς ἁλόντα πληγαῖς.

126 ὡς ὁ τάδε πορὼν κ. ἑ.: λίαν αἰδήμων ὁ χορὸς ὃς ἐπὶ τὸν Αἴγισθον τρέπει τὴν αἰτίαν· καὶ γυναικῶν ἐστιν ἴδιον τὸ μηδὲ ἐπὶ τοῖς προφανέσιν ἁμαρτήμασιν καταλέγειν ἄλλης γυναικός· καὶ τὸ

εἴ μοι θέμις τάδ' αὐδᾶν

λίαν ἠθικὸν καὶ ἁρμόζον γυναιξίν.

ἐπεὶ κατ' ἀρχόντων ἦν ὁ λόγος ἢ ἐπεὶ δοκεῖ δυσφημεῖν φησιν, εἰ δίκαιόν ἐστιν οὕτως εὔχομαι.

129 ὦ γενέθλα γενναίων] ὦ παῖδες τῶν εὐγενῶν Μυκηναίων.

γενναίων] πατέρων.

130 ἥκετ' ἐμῶν καμάτων: οἶδα, φησίν, ἃ πράττω καὶ οὐ λανθάνει με ὅτι ὑπὲρ τὸ δέον ποιῶ· ἢ οἶδα ὅτι μοι εὐνοεῖτε ἵνα συνάπτῃ τῷ προκειμένῳ

ἥκετ' ἐμῶν καμάτων παραμύθιον·

ἄμεινον δὲ τὸ πρῶτον.

---

4 ἐξολεστάτης L, corr. Suid. v. δύστηνος. — 10 lemma ματρὸς ἁλόντ' ἀπάταις, quod est in L, mutavit Elmsl. — 14] v. 127. — 20 πατέρων] interpretamentum in textum illatum L.

134 τοιοῦτοι γὰρ πολλάκις οἱ ἐν τοῖς πάθεσι παρηγορούμενοι, παρακαλοῦντες συγχωρεῖσθαι θρηνεῖν.

135 ἀλύειν: ⟨τὸ⟩ ἐν ἄλῃ δυσφορεῖν σημαίνει, ἐνίοτε δὲ τὸ γεγηθέναι ἀπὸ τῆς ἀλέας καὶ διαχύσεως· Ὅμηρος

ἦ ἀλύεις ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;

137 Ὅμηρος

οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.

138 παγκοίνου] εἰς ἣν ἅπαντας ἀφικέσθαι δεῖ.

139 οὔτε γόοις οὔτε λιταῖσιν: οὔτε ὀδυρομένη οὔτε παρακαλοῦσα τοὺς θεούς· καὶ Αἰσχύλος

μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ,

μόνος οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος.

144 ἐφίῃ] ἐπιθυμεῖς· τί μοι, φησί, τούτων γλίχῃ ἅπερ ἐστὶν οὐκ εὐκόλως φέρειν, θρήνου καὶ πένθους;

147 ἀλλ' ἐμέ γ' ἁ στονόεσσα: Ἀττικῶς τὸ ἄραρέ με ἀντὶ τοῦ ἤρεσέ μου ταῖς φρεσὶν ἀντὶ σύμφωνα πράσσομεν ἐγὼ καὶ ⟨ἡ⟩ ἀηδὼν ἕνεκα τοῦ θρηνεῖν. ἄλλως: οἷον συνήρμοσταί μου ταῖς φρεσὶ τουτέστιν ἐκείνην ζηλῶ τὴν ἀεὶ τὸν Ἴτυν στενάζουσαν. καὶ Ἀριστοφάνης

σὲ δὲ ταῦτ' ἀρέσκει.

---

1] cf. schol. v. 229. 849. — 3 τὸ add. Suid. v. ἀλύειν. ἄλῃ] Od. κ 464. ἄλλω L, corr. H (ᾶλη pr., ἄλλη rec.), Suid. — 4 ἀλέας] Od. ρ 23; cf. schol. Phil. v. 859. — 6 Od. σ 333. ἦ L. — 8 Il. ω 524. — 9 ἐφικέσθαι L, corr. V, Suid. v. πάγκοινος. — 12 fragm. 156. θεῶν γὰρ] γὰρ θεῶν L, θεῶν γε Suid., corr. Lasc.; cf. Aristoph. Ran. v. 1392. — 13 Nauck. fragm. adesp. 380. μέλος Nauck. — 18 ἡ add. Suid. v. ἀηδὼν et ἄραρέ με. — 22 Ran. v. 103. ταῦτα L.

149 *ἀτυζομένα*: *ἐκπληττομένη τοῖς συμβεβηκόσι καὶ ὀδυρομένη· τὸ δὲ Διὸς ἄγγελος ὅτι τὸ ἔαρ σημαίνει· Ὅμηρος*

*ὡς δ' ὅτε Πανδαρέου κούρη, χλωρηὶς ἀηδὼν*
*καλὸν ἀείδῃσιν ἔαρος νέον ἱσταμένοιο·*

*ἢ ὅτι τὴν ἡμέραν σημαίνει ἢ ὅτι τὰ ἑαυτῆς ἀγγέλλει κακὰ καὶ τὴν περιθρυλουμένην ἀγγελίαν καὶ τὸ πάθος· ἢ ἄγγελον εἶπεν οἷον τέρας καὶ τὸ παρ' αὐτοῦ γινόμενον εἰς τερατείαν τῆς φύσεως· καὶ Σαπφὼ*

*ἦρος ἄγγελος, ἱμερόφωνος ἀηδών.*

150 *σὲ δ' ἔγωγε νέμω θεὸν*] *ἀντὶ τοῦ ἐν τιμῇ τῶν θεῶν μερίζω σε.*

151 *ἐν τάφῳ πετραίῳ*] *τουτέστι καὶ ἀπολιθωθεῖσα. Ὅμηρος*

*ἐν Σιπύλῳ ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.*

155 *περισσά*: *ἀντὶ ἄμετρος ἐν τῷ θρηνεῖν· περισσῶς, φησίν, ὀδύρῃ παρὰ τούτους οἷς ἐκ τοῦ αὐτοῦ γένους τυγχάνεις· ὥστε καὶ ἕτερόν τι διδάσκει ἡμᾶς, ὅτι καὶ ἀδελφαὶ αὐτῇ εἰσι δύο μετριώτερον τὴν συμφορὰν φέρουσαι.*

*πρὸς τὸ ἄχος περισσῇ.*

157 *ἢ Ὁμήρῳ ἀκολουθεῖ εἰρηκότι τὰς τρεῖς θυγατέρας τοῦ Ἀγαμέμνονος ἤ, ὡς ὁ τὰ Κύπρια, τέσσαράς φησιν, Ἰφιγένειαν καὶ Ἰφιάνασσαν.*

---

4 Od. *τ* 518. — 8 *καὶ* om. G, V, Suid. v. *ἀηδών*. *παρ' αὐτοῦ*] Iovis? *αὐτῆς* Suid. — 9 *τεράστειαν* L cum signo —: in margine, corr. G, Suid. — 10 fr. 39. — 15 versus conflatus ex Il. *β* 783 et *ω* 615. *τυφωέως* L. — 22 *Ὁμήρῳ*] Il. *ι* 144. 287. *εἰρηκότι*] *ζῆν* addit G. *τὰς τρεῖς*] *τρεῖς τὰς* Lasc. — 23 *τὰ Κύπρια*] epic. Gr. fr. 12 (Kinkel.). *τέσσαρας*] $\overline{\Delta}$ L, *διαφόρους* Elmsl.

159 *κρυπτᾷ τ' ἀχέων*: ἢ ἀχέων μετοχή ἐστιν ἀντὶ δυσφορῶν ἐπὶ τῷ κεκρύφθαι ἢ ὁ ἐν ἥβῃ κρυπτῇ λυπούμενος.

163 *βήματι*: ἀντὶ ὁδῷ, πομπῇ.

164 *ἀκάματα*: ἀκαμάτως καὶ ἀδιαλείπτως· λέγοι Fol. 19 a
δ' ἂν ταῦτα ἐν ὑποκρίσει· ἢ οὐ κεκμηκότως.

166 *οἰχνῶ*] περιέρχομαι.

167 *δάκρυσι μυδαλέα*] διάβροχος τοῖς δάκρυσιν.
*ἀνήνυτον*] ἀτελείωτον.

169 *ὧν τ' ἔπαθεν ὧν τ' ἐδάη*: ὧν ἔπαθεν παρ' ἐμοῦ εὐεργεσιῶν (διέσωσε γὰρ αὐτόν), ὧν δὲ ἐδάη ὅτι συνεχεῖς ἔπεμπεν ἀγγέλους δηλοῦσα τὰ κατ' Αἴγισθον.

176 *ᾧ τὸν ὑπεραλγῆ χόλον*: ᾧτινι, τῷ Διί, τὸν ὑπεραλγοῦντα χόλον τοῖς πεπραγμένοις νέμουσα μή⟨τε⟩ ὑπερβολῇ χρῶ τοῖς λυπηροῖς καὶ δεινοῖς μήτε ἐπιλάθου αὐτῶν ἀλλὰ μέμνησο μὲν αὐτῶν γενναίως δὲ φέρε· ἢ μήτε ὑπὲρ τὸ δέον ἔχθαιρε μήτε ἐπιλανθάνου τῆς ἔχθρας.

*ὑπεραλγῆ*] ἄγαν ὀδυνηρόν, λυπηρόν.

179 *χρόνος γὰρ εὐμαρής*: ὁ γὰρ χρόνος εὐμαρῶς παρέρχεται, ἐνίοτε δὲ οὔ· μετ' ὀλίγον ἀνυομένου τοῦ χρόνου ἥξει Ὀρέστης· ἢ εὐχερής ἐστιν ὁ χρόνος ὥστε μετελθεῖν τοὺς ἀδίκους.

180 *Κρίσαν*] Φωκικήν· Κρίσα γὰρ πόλις Φωκίδος.

181 *βουνόμον*] βοῶν θρεπτικήν.

---

1 ἢ *ἀχέων*] ἢ om. G, Suid. v. *ἀχέων*. — 2 *τῷ*] *τὸ* L, corr. G, Suid. v. *ἀχέων*. *ὁ*] in litura L, *ὅἐστιν ὁ* G. — 5 *λέγοι*] *λέγω* L, corr. Lasc. — 10 *τ' ἔπαθεν*] sic pr., *τ' ἔπαθ'* rec. in textu L. — 14 *νέμουσα*] *μένουσα* L, corr. V. *μή⟨τε⟩*] *μὴ* L, correxi. — 21 *ἐνίοτε δὲ οὔ*| corrupta; *δὲ* (sine *οὔ*) H, *δὲ καὶ* V, *δὲ οὖν* Br.; *αἰνίττεται δὲ ὅτι* probabiliter Iahnius; cf. schol. Oed. Tyr. v. 137. 447. 449. 1183. Ant. 94. 499.

182 *ἀπερίτροπος*: ἀνεπίστροφος, ἀνεπέλευστος· ἔνθεν καὶ τὸ

περιτροπέων ἐνιαυτός·

ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ ἀπερίτροπος, οὔτε Ὀρέστης ἀπερίτροπος, ὃς ἐν τῇ Φωκίδι τρέφεται, οὔτε ὁ κάτω θεὸς ἀλλὰ καὶ ὑπὸ Ὀρέστου τιμωρηθήσονται καὶ ἀπὸ τῶν χθονίων θεῶν ἔσεσθαι τὴν τιμωρίαν τοῦ ἀδίκως ἀνῃρημένου προσδόκα· τινὲς δὲ τὸ ἀπερίτροπος ἐπὶ μὲν Ὀρέστου ἀνεπέλευστος ἐπὶ δὲ τοῦ Πλούτωνος ἀνεπίστροφος τοῦ τοὺς ἐχθροὺς μετελθεῖν· πολλάκις γὰρ τὸ κατὰ κοινοῦ λαμβανόμενον διαφόρως νοεῖται· καὶ Ὅμηρος

ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμου ἀρίστω

τὸ ἑλέτην κατὰ κοινοῦ ἐστιν ἀλλ' ἐπὶ μὲν τοῦ δίφρου ἀντὶ τοῦ ἔλαβον ἐπὶ δὲ τῶν ἀνδρῶν ἀντὶ τοῦ ἐφόνευσαν.

183 *οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα*: οὔτε ὁ Ἅιδης ἀνεπίστροφος (ἀπὸ κοινοῦ γὰρ τὸ ἀπερίτροπος) τοῦ τοὺς ἐχθροὺς μετελθεῖν ἀλλ' ἔχει ἐπιστροφὴν καὶ ἐπιμέλειαν ποιεῖται.

185 *ἀλλ' ἐμὲ μὲν ὁ πολύς*: οἷον τὸ πλεῖστον τοῦ βίου ἐβίωσα ἐν κακοῖς καὶ ὁ πλείων με, φησί, βίος ἀπολέλοιπεν μηδέποτε ἐν ἀγαθῇ ἐλπίδι γενομένην ἐπεὶ μέχρι νῦν οὐδὲν ὑπὲρ ἐκδικίας Ἀγαμέμνονος πέπρακται.

188 *ἇς φίλος οὔ τις ἀνήρ*: ἤτοι ἧς φίλος οὐδεὶς προΐσταται ἀλλὰ πάντες εἰσὶν ἐν ἀτυχήμασιν εὐλαβούμενοι ἢ ἐκεῖνο

ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.

---

1 ἀναπέλευστος (ε above α) L. — 3 Il. β 295. — 9 ἀνεπάλευστος L, corr. Lasc. — 12 Il. λ 328. — 26 Soph. fr. 663; locis apud Nauckium commemoratis adde nunc Michael. Acominati 2 p. 84, 24 (ed. Lampri Athen.): *οὐκ ἐσμὲν μοίρας ἐκείνης τῶν φίλων οἳ κατὰ τὴν τραγῳδίαν ἐκποδών εἰσιν ἀνδρὸς κακῶς πράσσοντος.*

189 ἔποικος: ἀντὶ μέτοικος, ἀναξία δὲ ἀξίαν οὐκ ἔχουσα ἀλλ' ἄτιμος· οἰκονομῶ δὲ ἀντὶ τοῦ ἐνδιαιτῶμαι τοὺς πατρῴους οἴκους.

190 ὧδε μὲν | ἀεικεῖ σὺν στολᾷ: δεικτικῶς τὸ ὧδε· ἐλεεινὸν δὲ τὸ τοιοῦτον καὶ λεληθότως ἐμφαῖνον τὸ σχῆμα τῶν ὑποκριτῶν.

193 οἰκτρὰ μὲν νόστοις αὐδά: ἡ ἀγγελία ἡ περὶ τοῦ νόστου τοῦ πατρὸς οἰκτρὰ ἐγένετο εὐθέως ἀναιρεθέντος· ἀπὸ κοινοῦ δὲ τὸ αὐδά· οἰκτρά σοι οὖν γέγονεν ἡ φωνὴ ἡ ἀγγέλλουσα περὶ τοῦ νόστου τοῦ πατρός, οἰκτρὰ δὲ καὶ ⟨ἡ⟩ περὶ τῆς κοίτης αὐτοῦ οἷον οἰκτρὰ πέπονθας καὶ ὅτε ἤκουσας παρεῖναι Ἀγαμέμνονα προσδοκῶσα ὅτι ἐπιβουλευθήσεται, οἰκτρὰ δὲ ὅτε καὶ ἡ πρᾶξις γέγονε καὶ ἀνηρέθη.

195 ἀνταία | γενύων: ὅτε ἀνταίαν ἐπλήγης ἀπὸ γενύων παγχάλκων ὅ ἐστι πελέκεων· γένυς γὰρ εἶδος πελέκεως.

197 δόλος ἦν ὁ φράσας: ἀντὶ ὁ φρασάμενος, ὁ ἐπινοησάμενος, ὁ δὲ ἀνελὼν ἔρως· δι' ἔρωτα γὰρ ἑαυτῶν ἀνεῖλον Ἀγαμέμνονα. δόλος ὁ φρασάμενος τὴν ἑστίασιν ἐν ᾗ ἀνηρέθη.

198 προφυτεύσαντες] προσκεψάμενοι.

199 μορφάν: μορφήν, τύπον· τὴν δὲ μοιχείαν φησὶ τοῦ Αἰγίσθου ἢ τὴν ὄψιν ἣν εἰργάσατο τοῦ φόνου.

εἴτ' οὖν θεός: πάνυ αἰδημόνως ὁ χορὸς τὸ μὲν πρᾶγμα λέγει τοὺς δὲ πράξαντας οὐκ ἐλέγχει.

203 ὦ δείπνων ἀρρήτων: τῶν ὑπὸ Αἰγίσθου, φησί, τῷ Ἀγαμέμνονι παρασκευασθέντων ἐπ' ὀλέθρῳ ἃ οὐδὲ ὀνομάσαι καλόν.

---

2 διαιτῶμαι L, corr. Suid. v. οἰκονομῶ. — 11 ἡ addidi. — 12 ὅτε] ὅτι L, corr. Br. — 15 ἐπλήγη V. — 16 πελέκεος L, corr. G, Suid. v. γένυς. — 24 εἶτ' L.

204 ἔκπαγλ' ἄχθη] μεγάλα. γράφε ἔκπαγλα πάθη.

206 διδύμαιν χεροῖν] τῆς Κλυταιμήστρας καὶ τοῦ Αἰγίσθου.

207 αἳ τὸν ἐμὸν εἷλον βίον: πάνυ περιπαθῶς, αἵτινες χεῖρες, αἱ ἀνελοῦσαι τὸν Ἀγαμέμνονα, τὸν ἐμὸν βίον ἀνεῖλον καὶ προέδωκαν τοῖς ἐχθροῖς.

Fol. 19 b 210 ποίνιμα: ποινὴ λέγεται ἐπὶ μόνης καταβολῆς χρημάτων· Ὅμηρος

ποινὴν ⟨ἢ⟩ οὗ παιδὸς ἐδέξατο τεθνηῶτος

καὶ

ἀλλ' ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ' ἀποτίσας
τοῦ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ
ποινὴν δεξαμένῳ.

211 ἀγλαΐας] ἡδονῆς, δόξης.

213 φράζου μὴ πόρσω φωνεῖν: ὁ χορὸς ἐπιτιμᾷ τῇ Ἠλέκτρᾳ μὴ ἄντικρυς ταῖς βλασφημίαις κατὰ Κλυταιμήστρας καὶ Αἰγίσθου χωρεῖν· οἰκείας δὲ ἤτοι τὰς συγγενικὰς ἢ ἀπὸ σοῦ ἐσομένας καὶ οὐκ ἀλλαχόθεν.

214 οὐ γινώσκεις, φησίν, ἐξ οἵων ἀγαθῶν εἰς τί ἀνιαρὸν ἐλήλυθας;

218 σᾷ δυσθύμῳ τίκτουσ' ἀεὶ | ψυχᾷ πολέμους] τοιαῦτα γεννῶσα ἐξ ὧν πολεμεῖταί σου ἡ ψυχή.

σαυτῇ γεννῶσα ταῦτα ἐξ ὧν πολεμεῖταί σου ἡ ψυχή ὡς ἐν ἀθυμίαις αὐτῆς οὔσης.

219 τὰ δὲ τοῖς δυνατοῖς | οὐκ ἐριστά: τοῖς κρατοῦσιν οὐ δι' ἔριδος δεῖ εἰς ταῦτα προσπελάζειν ἀντὶ οὐχ οἷόν τέ σε ἐρίζειν τοῖς δυνατοῖς. καὶ ἄλλως:

---

9 Il. ι 633. ἢ add. Suid. v. ποινή. τεθνειῶτος L. — 11 Il. ι 634 ubi καί ῥ' ὁ μὲν et c. — 22 γεννῶσα] ἐννοοῦσα L, correxi.

ταῦτα δὲ ἃ πράττεις οὐκ ἐριστὰ τοῖς κρατοῦσίν ἐστιν τουτέστι [τοῖς] περὶ τούτων φιλονεικίαν πρὸς τοὺς κρατοῦντας ποιεῖσθαι ἀσύμφορον.

220 πλάθειν] πελάζειν.

222 τοῦτο τὸ ἔπος, φησίν, οὐ λανθάνει με ἀλλ' οἶδα τὸ ἀσφαλὲς καὶ συμφέρον, διὰ δὲ τὴν ὑπέρβασιν τῶν δεινῶν ἀναγκάζομαι καὶ ἐπικινδυνώδη τινὰ φθέγγεσθαι.

226 τίνι γάρ ποτ' ἄν, ὦ φιλία: παρὰ τίνος γὰρ ἀκούσομαι τὰ συμφέροντα ἢ παρ' ὑμῶν τῶν συνοίκων ὥστε μοι συγχωρῆσαι ἐν δεινοῖς οὔσῃ παρηγορίαν τινὰ ἴσχειν ἐκ τῶν ὀδυρμῶν καὶ θρήνων; οὐ γὰρ πρὸς ξένους ἔχω ἀλλὰ πρὸς ὑμᾶς εὐνοούσας.

τίνι] ἀντὶ τοῦ παρὰ τίνος;

229 ἄνετε] ἐάσατε οἷον παύσασθέ με παραμυθούμεναι· ἢ οὕτως, ὑμεῖς με παραμυθούμεναι ἄνετε ὅ ἐστιν ἐπιτρέπετε ὀδύρεσθαι καὶ αὔξετέ μου διὰ τῆς παραμυθίας τὸν ὀδυρμόν.

230 τάδε γὰρ ἄλυτα κεκλήσεται: τὸ θρηνεῖν τὸν πατέρα ἄλυτόν μοι ἔσται ὅ ἐστιν οὐδέποτε παύσομαι ἀλλ' ἀεὶ ἐν τῷ θρηνεῖν ἔσομαι.

232 ἀνάριθμος ὧδε θρήνων: ἔν τισι κεῖται ἀνάνομος οἷον ἀεὶ νεμομένη ἐν αὐτοῖς καὶ οὔποτε χωρὶς οὖσα τῆς τῶν δακρύων νομῆς· κεῖται δὲ καὶ ἀνήριθμος

---

2 τοῖς inclusit Iuntina. — 9 ποτ' ἂν] ἂν ante ἀκούσομαι lectum huc posuit Wund. — 17 ὀδύρεσθε L, corr. Suid. v. ἄνετε. — 20 ἔσται] ἐστὶν L, corr. Suid. — 22 τισι] τ† ∗ L, ἐν τῷ G (ἔν τι V) παράκειται G, ἐν ὑπονοίᾳ (ὑπομνήματι Gaisfordus) κεῖται Suid. ἀνάνομος] compositum est ex α (= οὔποτε) et ἄνομος (= χωρὶς οὖσα τῆς τῶν δακρύων νομῆς). — 23 νεμομένη] νέμο ∗∗ μένη L.

καὶ ἔστιν ὁ λόγος, οὐκ ἔσομαι ἀνήριθμος θρήνων ἀλλ' ἐν θρήνοις ἀριθμηθήσομαι.

οἷον οὐκ ἀριθμοῦσα αὐτοὺς ἀλλὰ δαψιλέσι χρωμένη·

236 κακότητος] τῆς συνεχούσης με.

239 μὴ εἴη μοι ταύτης τιμῆς τὸ τοὺς γονέας μὴ μέχρι παντὸς ὀδύρεσθαι.

240 μήτ' εἴ τῳ πρόσκειμαι χρηστῷ: μήτε εἴ τινι ἀγαθῷ καὶ χρηστῷ πρόσκειμαι φίλῳ συνοικοίην εὔκηλος οἷον μηδὲ εἰ ἀγαθός τίς ἐστιν ᾧ ἐγὼ πρόσκειμαι μηδὲ τούτῳ συνοικοίην εὔ⟨κηλος⟩ ζηλοῦσα ⟨τὰ⟩ αὐτοῦ καὶ ἀποδεχομένη εἰ τοιοῦτος περὶ τοὺς γονέας φαίνοιτο· μήτε οὖν αὐτὴ γενοίμην μήτε ⟨εἰ⟩ ὁ ξυνοικῶν μοι τοιοῦτος εἴη ζηλοίην τὰ ἐκείνου ὥστε καταφρονεῖν τῶν γονέων.

241 γονέων | ἐκτίμους: τῶν ἐπὶ τοῖς γονεῦσιν ὀξυτόνων γόων τὰς πτέρυγας ἴσχουσα ἐκτίμους ἀντὶ ἐκτὸς τιμῆς ἀλλ' ἐν τῷ τιμᾶν τοὺς πατέρας εἴην διὰ τῶν γόων.

249 ἥ τε αἰδὼς ἔρροι καὶ ἡ περὶ πάντας εὐσέβεια εἰ τῶν ἀδίκως ἀνῃρημένων μὴ τιμωρία ἔσται.

253 σὺ νίκα: τὸ σὺ νίκα πάνυ ἀναγκαίως ἵν' ἀφορμὴ γένηται μακρὰν ἐκτεῖναι ῥῆσιν τὴν Ἠλέκτραν ἐν ᾗ πάντα τὰ καθ' ἑαυτὴν παραλήψεται.

254 αἰδοῦμαι εἰ δοκῶ ὑμῖν βαρέως πενθεῖν.

256 ἀλλ' ἡ βία γὰρ ταῦτ' ἀναγκάζει: ἐπείπερ ἐν τοῖς φθάσασιν ἐπετίμησαν αὐτῇ διὰ τὸ ἀνενδότως θρηνεῖν περὶ τούτου πρῶτον ἀπολογεῖσθαι βούλεται.

---

5 ταύτης τῆς τιμῆς H, ταῦτα διὰ τιμῆς schol. rec. II p. 250, 30. — 7 τινι] τι L, τῷ G, corr. Lasc. — 10 εὔ⟨κηλος⟩] εὖ L, correxi. τὰ addidi. αὐτοῦ] αὐτῶ L, correxi. — 12 εἰ add. Lasc. — 18 γόων] γονέων L, corr. Iahnius. — 24 β∗αρέως L. — 25 ἐν τοῖς φθάσασιν] v. 122. 141. 176. 213 sqq.

259 ἃ 'γὼ κατ' ἦμαρ: ἀναγκαίως κέχρηται τῷ νοήματι· ἐν μὲν γὰρ γενομένῳ πράγματι καὶ παρελθόντι εἰκὸς καὶ παύσασθαι τὸν ἀδημονοῦντα ὁπότε δὲ αὐτὴν οὐ μόνον τὰ τοῦ πατρὸς λυπεῖ ἀλλὰ καὶ τὰ τῆς μητρὸς καὶ τὰ Αἰγίσθου ὁσημέραι γινόμενα εἰκότως παρατείνει τὸ πενθεῖν.

263 ἐν τοῖς ἐμαυτῆς: ἀνιαρὸν λίαν τὸ ἐν τοῖς Fol. 20 a.
ἐμαυτῆς ὅτι ἀδικοῦμαι οὖσα ἐν τοῖς ἐμαυτῆς.

264 κἀκ τῶνδ' ἄρχομαι: καὶ βασιλεύομαι ὑπ' αὐτῶν, ἔτι δὲ τοῦτο χαλεπώτερον, τὸ καὶ τούτοις ὑποτετάχθαι.

267 ὅταν θρόνοις Αἴγισθον: καὶ γὰρ μετὰ τὸ φονεῦσαι 'Αγαμέμνονα Αἴγισθος ἐβασίλευσεν· Ὅμηρος

Αἴγισθος . . . . . . .
. . . . ἤνασσε πολυχρύσοιο Μυκήνης
κτείνας 'Ατρεΐδην, δέδμητο δὲ λαὸς ὑπ' αὐτῷ.

269 φοροῦντ' ἐκείνῳ ταὐτά: οὐχ ὅμοια βασιλικὰ ἀλλὰ τὰ ἐκείνου· πάνυ γὰρ τοῦτο περιπαθὲς καὶ εἰς ὑπόμνησιν ἄγον τὴν μείρακα τοῦ πατρός.

270 σπένδοντα λοιβάς: τὸ τῆς ἀσεβείας Αἰγίσθου κατηγόρημα εἰ σπένδει θεοῖς ὅπου ἄδικος φόνος εἴργασται.

271 ἴδω δὲ τούτων: ζηλοτυπίας μεστὸν τὸ πρᾶγμα, κινητικὸν δὲ πρὸς οἶκτον τὸ αὐτοέντην πρὸς κοίτῃ πατρός.

272 αὐτοφόντην] γράφε αὐτοέντην· τὸ δὲ ἡμῖν παρέλκει 'Αττικῶς.

---

2 μὲν] ἡμῖν L, corr. Lasc. — 5 ὁσήμεραι L, corr. Lasc. — 6 παρατείνειε L, περιτείνει G, corr. Lasc. — 10 τοῦτο] τούτου G. — 14 Od. γ 304. — 16 αὐτῷ] αὐτοῦ L. — 18 περιπαθῶς L, corr. G, H. — 26 ἡμῖν] ἥμιν (ἧμὶν deleto circumflexu in textu) L.

275 τλήμων] τολμηρά, ἀναιδής.

278 εὑροῦσ᾽ ἐκείνην ἡμέραν: τὸ εὑροῦσα τὸν πόθον καὶ τὴν ἐπιθυμίαν τῆς γυναικὸς σημαίνει οἷον ἡδέως αὐτὴν θεωμένη.

281 θεοῖσιν ἔμμην᾽ ἱερά: οἱ Ἀργολικοὶ συγγραφεῖς ιγ΄ εἶναί φασι Γαμηλιῶνος ὡς Δεινίας ἐν ζ΄ Ἀργολικῶν.

ἔμμην᾽] κατὰ μῆνα.

283 κἀπικωκύω] δακρύω.

284 ἐπωνομασμένην] ἐφ᾽ ᾧ ὠνομάσθη.

286 ὅσον μοι θυμὸς ἡδονήν: ἐπικουφίζεται γὰρ τοῖς δακρύοις ἡ συμφορά· Αἰσχύλος

οἵ τε στεναγμοὶ τῶν πόνων ἐρείσματα.

287 εὐγενὴς λόγοις καὶ οὐ πράξεσιν.

289 καὶ ταῦτα Ἀριστοφάνης παρῴδηκεν ἐν Γηρυτάδῃ.

δύσθεον] ἀσεβές.

σοὶ μόνῃ πατὴρ | τέθνηκεν: οὐκ ἀνῃρέθη φησὶν ἀλλὰ τέθνηκεν τῷ προσχήματι τῆς λέξεως παραλογιζομένη τὴν παρανομίαν.

299 ὑλακτεῖ] ἐμμανῶς καὶ ἀναιδῶς βοᾷ ὡς κύων.

300 ὁ κλεινὸς] κατὰ εἰρωνείαν.

302 ὁ σὺν γυναιξὶ τὰς μάχας: συνεργούσης γὰρ Κλυταιμήστρας ἀνεῖλεν τὸν Ἀγαμέμνονα

Αἰγίσθου ὑπὸ χερσὶ καὶ οὐλομένης ἀλόχοιο.

---

4 θεωμένην L, corr. H. — 6 Γαμηλιῶνος] τὰ μηλίων (μηλιῶνος G) L, corr. Lasc. Δεινίας] C. Muelleri fragm. hist. Graec. 2 (III p. 24). — 13 fr. 375. οἵ τε] οἱ δὲ G, οἵ τοι schol. Il. ψ 10, οἱ γὰρ urbinas. ἐρείσματα] ε post ρ serius additum in L; ἐρύσματα Herm., κουφίσματα Nauckius, ῥαΐσματα F. Schmidtius, ἀρτύματα Wecklinus. — 14 καὶ (οὐ a m. rec.) L. — 15 fr. XIX (II p. 1012) = Dind. poet. sc. fr. 215. — 25 Od. ω 97.

303 γράφε

ἐγὼ δ' Ὀρέστην προσμένουσ' ἀεί ποτε.

305 τὰς οὔσας] τὰς παρούσας.

307 ἐν οὖν τοιούτοις: θαυμαστῶς καὶ ἀνθρωπίνως δικαιολογεῖται ἐπεὶ οἱ ἐν δεινοῖς καὶ ἔξω λογισμοῦ τινα πράσσουσι καὶ εἰς θεοὺς ἀσεβῆ φθέγγονται.

310 φέρ' εἰπέ: ἐπεὶ θρασυτέρῳ λόγῳ ἡ Ἠλέκτρα Fol. 20b κέχρηται ὁ χορὸς βουλόμενος περὶ Ὀρέστου πυθέσθαι ἐρωτᾷ εἰ πάρεστιν Αἴγισθος.

312 ἦ κάρτα] ἐν ἤθει οἷον πολλοῦ γε δεῖ.

μὴ δόκει μ' ἂν εἴπερ: δαιμονίως ᾠκονόμηται τοῦτο πρὸς τὴν χείρωσιν Κλυταιμήστρας· τὸ δὲ εἴργεσθαι ἐξόδου [πρὸς] τὴν μείρακα περιπαθὲς μὲν χρήσιμον δὲ πρὸς τὴν ὑπόθεσιν.

317 τοῦ κασιγνήτου] λείπει ἡ περί.

318 μέλλοντος] βραδύνοντος.

320 φιλεῖ γὰρ ὀκνεῖν: δύναται τὸ ὀκνεῖν Ὁμηρικῶς εἰρῆσθαι ἀντὶ τοῦ φοβεῖσθαι

ὀκνείω δ' ἵππων ἐπιβαινέμεν ὠκειάων.

324 ὡς δόμων ὁρῶ | τὴν σὴν ὅμαιμον: οὐχ ὡς τῆς Χρυσοθέμιδος τἀναντία φρονούσης τῇ Ἠλέκτρᾳ ἀλλ' ἐπειδὴ ὁρῶσιν ἐναγίσματα βαστάζουσαν τοῦτο πρῶτον πυθέσθαι βουλόμεναι κωλύουσιν αὐτὴν τῶν ἑξῆς λόγων.

328 τὸ ἑξῆς, τίνα φάτιν φωνεῖς;

---

12 χείρωσιν] v. 1368. — 13 ἔξοδος L, corr. Lasc. πρὸς delevit Neuius. περίπαθὴς L, corr. V. χρήσιμ̀ compendio facto ex ο L. — 14 ὑπόθεσιν] ὑπέρθεσιν L, corr. V. — 19 Il. ε 255. ὠκειάων sumtum ex v. 257. 261. — 22 ἐναγήματα L, corr. G, H, V.

τίν᾽ αὖ σὺ τήνδε: ἐπίτηδες τοῖς ἀγρίοις ἤθεσιν ἀντιπαρατάττουσι πρᾶα καθάπερ νῦν τῇ Ἠλέκτρᾳ Χρυσόθεμιν συνέζευξεν καὶ τῇ Ἀντιγόνῃ τὴν Ἰσμήνην ἕνεκα τοῦ διαποικίλλειν ταῖς ἀντιρρήσεσι τὰ δράματα.

331 θυμῷ ματαίῳ] γράφε ψυχῇ ματαίᾳ.

335 ὑφειμένῃ δοκεῖ: ⟨οὐχ⟩ ὅλον τὸ ἱστίον ἀναπετασάσῃ· ἀπὸ τῶν πλεόντων οἳ πρὸς τὴν βίαν τῶν ἀνέμων οὐκ ἀντίσχοντες ὑφιᾶσι τῶν ἱστίων.

εἰς τὸ αὐτό: ὑφήσειν τὸ ἱστίον οἷον συστέλλειν τὸ φρόνημα καὶ μὴ ἄντικρυς μάχεσθαι· οἱονεὶ τῇ προαιρέσει χρῶμαι.

339 ὁ νοῦς, τί ὄφελος τῆς δικαιοσύνης εἴ τις διὰ ταύτην τοῖς δεινοῖς περιπέσῃ;

342 μέλειν] φροντίζειν.

343 ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα: ταῦτα ὅμοιά ἐστι τοῖς ἐν τῇ Ἀντιγόνῃ ὅπου τῇ Ἰσμήνῃ λοιδορεῖ καί φησιν αὐτὴν τὰ Κρέοντος φρονεῖν.

οἷον ἃ εἶπες ἐμὲ νουθετοῦσα.

345 ἔπειθ᾽ ἑλοῦ γε: ὁμολόγησον σαυτὴν ἢ φρονεῖν κακῶς προστιθεμένην τοῖς ἐχθροῖς ἢ φρονοῦσαν τῶν φιλτάτων ἀμνημονεῖν οἷον θάτερά σε δεῖ ὁμολογῆσαι ἢ ὅτι κακῶς φρονεῖς ἢ ὅτι ἑκοῦσα ἁμαρτάνεις καὶ παρορᾷς.

ὁμολόγησον.

348 τὸ τούτων μῖσος] λείπει ἡ κατά.

350 τήν τε δρῶσαν ἐκτρέπεις] ἀντὶ ἐμέ· ἡ δὲ ἐκ ἀντὶ τῆς ἀπό, ἀποτρέπεις.

---

6 οὐχ addidi. — 8 ἀντισχόντες L, corr. Lasc. — 11 χρῶμαι] χρωμένην G; an χρῆσθαι? — 16 ὅμοιά ἐστι τοῖς ἐν] ὁποῖά ἐστι τὰ (τοῖς G) ἐπὶ L, corr. Michaelis coll. schol. v. 997. Ἀντιγόνῃ] v. 549. — 17 αὐτὴν] αὐτῇ L, corr. V.

354 *κακῶς μὲν ζῶ ἀλλ' ὑπὲρ τοῦ λυπεῖν τοὺς ἐχθροὺς τοῦτο πράττω.*

*κακῶς*] *ὀδυνηρῶς.*

*ἐπαρκούντως*] *οὐ γὰρ ἐφίεμαι τρυφερώτερον ζῆν.*

355 *λυπῶ τούτους διὰ τοῦ τιμᾶν τὸν πατέρα.*

361 *δαψιλὴς ἔστω σοι ἡ τροφή.* Fol. 21 a

363 *ἐμοὶ γὰρ ἔστω: ἐμοί, φησίν, ἔστω τροφὴ ἡ τῇ ἀνάγκῃ μόνον ἁρμόζουσα καὶ τὴν πείνην ἀπελαύνουσα· οὐ δέομαι γὰρ τοιαύτης τροφῆς ἀφ' ἧς ἡδονὴν σχήσω·*

*τοὐμὲ μὴ λυπεῖν*] *τοῦ μὴ λυπεῖν τὸν πατέρα.*

365 *οὐδ' ἂν σὺ εἰ ἐσωφρόνεις ἁβρῶς ἔζης ἠμεληκυῖα τοῦ πατρός.*

366 *καλοῦ*] *ἀντὶ τοῦ κλήθητι, λέγου, ὀνομάζου.*

369 *εἰ συγκεράσαιτε τοὺς τρόπους εὖ ἂν ἔχοι· ἡ μὲν γὰρ σμικρὰ ἡ δὲ ἀνειμένη.*

372 *ἠθάς εἰμί πως*] *ἀντὶ ἐν συνηθείᾳ εἰμί.*

373 *τῶν τῆσδε μύθων*] *τῶν παρ' αὐτῆς λεγομένων μύθων.*

375 *μακρῶν*] *μεγάλων ἢ πολυχρονίων.*

379 *γόων*] *γράφεται καὶ λόγων.*

381 *κατηρεφεῖ*] *κατεσκεπασμένῃ.*

384 *νῦν, φησίν, εὔκαιρόν ἐστιν καλῶς φρονῆσαι.*

387 *ἁρμόζει λίαν τὸ πρόσωπον Ἠλέκτρας τῇ Ἀντιγόνῃ.*

391 *πάνυ θυμικῶς καὶ τὴν ἀδελφὴν αὐτοῖς συγκαταλέγει ὡς τὰ αὐτῶν αἱρουμένην.*

---

6 *σοι*] *σοῦ* L, corr. H. — 8 *τὴν πείνην*] *τὸ πεινῆν* G. — 10 *τοῦ*] *τὸ* V. — 14 *συγκεράσηται* L, *συνκεράσειτε* G, *συγκεράσετε* V, corr. Dind. — 15 *ἀνειμένη*] Electra; cf. v. 516. — 20 *γράφεται καὶ λόγων*] ad *γόων* v. 375 retulit Elmsl. fortasse recte. — 21 *κατεσκεπασμένω* L, corr. Lasc. — 22 *καλῶς* delet Michaelis. — 23 *τῇ Ἀντιγόνῃ*] Antig. v. 48. 86. — 26 *αἱρουμένης* L, corr. Br.

393 εἰρωνεύεται ἐν ἤθει.

401 κακῶν ἐστιν ἐπαινέσαι ταῦτα τὰ ἔπη.

403 νοῦ — κενὴ] ἀντὶ τοῦ συνέσεως κούφη.

Fol. 21 b 411 συγγένεσθε: συμμαχήσατε, συνεργήσατε, συμπράξατε ἡμῖν κἂν νῦν· ἀκούσασα δὲ ὅτι ἐν τοῖς ὀνείροις δείματά τινα τῇ Κλυταιμήστρᾳ γέγονε θαρσεῖ καὶ ἐπικαλεῖται τοὺς θεοὺς εἰ καὶ μὴ πρότερον κἂν νῦν παρεστάναι.

414 πλὴν ἐπὶ σμικρῶν] ἀντὶ πλὴν ὀλίγων.

417 ὡς αὖθις αὐτοῦ ἀναζήσαντος καὶ προσομιλήσαντος.

419 ἐφέστιον] ἐπὶ τὴν οἰκίαν γενόμενον τουτέστιν ἔποικον.

422 ἐσήμανεν αὐξηθησόμενον Ὀρέστην τὸν θαλλόν.

424 ἡνίχ' ἡλίῳ: τοῖς γὰρ παλαιοῖς ἔθος ἦν ἀποτροπιαζομένους τῷ ἡλίῳ διηγεῖσθαι τὰ ὀνείρατα. ἡλίῳ ἀντὶ ἡμέρᾳ· ἤκουσα, φησί, τοῦ ὀνείρου ἡνίκα ἡμέρας γενομένης διηγεῖτο αὐτό τινι κἀκεῖνος ἐμοί.

430 εἰ γάρ μ' ἀπώσῃ: εἰ γὰρ νῦν, φησί, δεομένην σου ἀπώσῃ με κακοῦ σοί τινος γενομένου μετὰ ταῦτα αὐτὴ μετελεύσῃ με καὶ ἀξιώσεις μετὰ σοῦ γενέσθαι.

432 καὶ ἵνα μὴ ἀποτρέψῃ εἴ τι κακὸν μέλλοι γενέσθαι διὰ τῶν ὀνείρων.

436 εὐνὴν νῦν τὸν τάφον.

439 ἀρχὴν δ' ἂν εἰ μὴ τλημονεστάτη: καθόλου, φησίν, εἰ μὴ τολμηροτάτη πασῶν ἐτύγχανεν οὐκ ἄν ποτε

---

2 κακὸν L, corr. G. — 8 παριστάναι L, corr. G, H. — 13 ἔποικον] ἐπ' οἶκον L, corr. V, Suid. v. ἐφ' ἑστίας. — 14 ἐσήμαινεν? — 21 αὐτὴ] αὐτῇ L, corr. Lasc. — 22 καὶ delet Lasc. μέλλει Lasc.

ταῦτα ἔπραττεν ἐπὶ τιμῇ τοῦ πατρὸς ὃν αὐτὴ ἀνεῖλεν· εἰκὸς οὖν αὐτὴν τοῦτο ἐπί τινι λυσιτελοῦντι πράττειν ᾧ μὴ ὑπουργήσῃς σύ.

445 ἐμασχαλίσθη κἀπὶ λουτροῖσιν κάρα: εἰώθεισαν τῶν ἀναιρουμένων εἰς τὰς κεφαλὰς ἀπομάσσειν τὰ ξίφη ὥσπερ ἀποτροπιαζόμενοι τὸ μύσος τὸ ἐν τῷ φόνῳ· τὸ δὲ ἐξέμαξεν ἐπὶ τοῦ Ἀγαμέμνονος ὃς ἐμασχαλίσθη ὑπὸ τῆς Κλυταιμήστρας καὶ τὸ κάρα αὐτοῦ τὰς κηλῖδας τούτων τὰς ἐπὶ τῷ φόνῳ ἐξέμαξεν· οὐ δεῖ δὲ διαφωνίαν δοκεῖν εἶναι πρὸς τὸν Ὅμηρον ἐπεί φησιν ἐκεῖνος

δειπνίσσας ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ·

ἤρκει γὰρ τὰ ὅλα συμφωνεῖν τῷ πράγματι· τὰ γὰρ κατὰ μέρος ἐξουσίαν ἔχει ἕκαστος ὡς βούλεται πραγματεύσασθαι εἰ μὴ τὸ πᾶν βλάπτῃ τῆς ὑποθέσεως. ἄλλως: εἰώθεσαν οἱ δρῶντες ἐμφύλιον φόνον ἀκρωτηριάζειν τοὺς ἀναιρεθέντας ἐκ παντὸς μέρους τοῦ σώματος ἀποτεμνόμενοι ⟨καὶ⟩ περιάπτειν ἑαυτοῖς τὰ ἄκρα συνείροντες διὰ τούτων ὥσπερ τὴν δύναμιν ἐκείνων ἀφαιρούμενοι διὰ τὸ μὴ παθεῖν εἰς ὕστερόν τι παρ' ἐκείνων δεινόν· ἐφόρουν δὲ εἰς τὰς μασχάλας τὰ ἄκρα ὃ καὶ μασχαλισθῆναι ἔλεγον. ἄλλως: ἐπὶ ταῖς καθάρσεσι τοῦ φονευθέντος τὰ ἄκρα ἔτεμνον καὶ περὶ τὴν μασχάλην αὐτοῦ ἐκρέμαζον αὐτὰ ἵνα, φασίν, ἀσθενὴς

---

1 τοῦ serius additum. — 4 λουτροῖσι L. — 7 et 9 ἐξαίμαξεν (ut in textu pr.) L, corr. G, V. — 10 Ὅμηρον] ὄνειρον L, corr. G, V. — 11 Od. δ 535. δειπνήσας L, δειπνίσας G. κατέκτεινε L, corr. G, V. — 17 ἀποταμνόμενοι L, corr. G, V, Suid. v. μασχαλισθῆναι. καὶ add. Suid. ἑαυτοῖς] αὐτοῖς V. — 18 συνείραντες L, corr. V, Suid. — 21 μασχαλίσθαι L, corr. Suid. — 23 φασὶν] φησὶν L, corr. Suid.

*γένοιτο πρὸς τὸ ἀντιτίσασθαι τὸν φονέα· καὶ Ἀπολλώνιος*

*ἐξάργματα τάμνε θανόντος*

*⟨περὶ⟩ τοῦ Ἰάσονος.*

*οἷον ὑπὸ τὰς μασχάλας ἔλαβεν τὰ ἄκρα ἀντὶ τοῦ ἠκρωτηριάσθη.*

446 *κηλῖδας ἐξέμαξεν: ἢ τῇ ἑαυτῶν κεφαλῇ ἀπέμασσον τοῦ ξίφους τὰς κηλῖδας ἢ τῇ τοῦ φονευομένου ὥσπερ τὰς ἐπὶ τῷ μύσει κηλῖδας ἀποτρεπόμενοι.*

448 *προοικονομικῶς ἀποστέλλει αὐτὴν εἰς τὸν τάφον ἐπὶ τὸ εὑρεῖν τὸν βόστρυχον Ὀρέστου.*

451 *ἀλιπαρῆ τρίχα: περιπαθῶς μὲν τὸ τῆς πενίας τὸ δὲ ἀλιπαρῆ ἀντὶ τοῦ αὐχμηράν· ἐν δὲ τῷ ὑπομνήματι λιπαρῆ ὅ ἐστιν ἐξ ἧς αὐτὸν λιπαρήσομεν ὡς εἰ ἔλεγεν ἱκέτιν τρίχα.*

452 *καὶ ζῶμα τοὐμόν: σύμφωνον τοῦτο τῷ*

*ὧδε μὲν*

*ἀεικεῖ σὺν στολᾷ·*

*ζῶμα δὲ νῦν τὴν ζώνην δηλοῖ οὐ τὸ ἔνδυμα ἵνα τούτῳ στέφῃ τὸν τάφον ἀντὶ μίτρας· δίδωσι γὰρ τὸ ζῶμα ἀντὶ ταινίας.*

Fol. 22 a 455 *ἐξ ὑπερτέρας χερός: ἀντὶ τοῦ ἰσχυροτέρας οἷον μετὰ δυνάμεως μείζονος.*

463 *κοινῷ πατρὶ] τῷ ἐμῷ καὶ σῷ.*

---

3 Argonaut. *δ* 477. *τέμνεν* L, *τέμνε* V. — 4 *περὶ* add. Suid. — 7] schol. v. 446 et v. 445 *ἄλλως* — *Ἰάσονος* inverso ordine sed praefixis literis *β′* et *α′* habet L. *ἐξαίμαξεν* L, corr. V. — 10 *προωκονόμισεν* (*προῳκονόμησεν* Dind.) *ἀποστέ*^λλ (*ἀποστέλλουσα* Dind.) G; an *οἰκονομικῶς προαποστέλλει*? cf. schol. v. 785; *προοικονομεῖν* legitur in scholio v. 1384. — 11 *εὑρεῖν*] v. 900 sqq. — 16 *τῷ*] *τὸ* L, corr. Lasc. — 17] v. 190. — 20 *δίδωσι*] Electra.

466 τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον: οὐκ ἔχει λόγον τὸ φιλονεικεῖν περὶ τοῦ δικαίου ὥστε περὶ αὐτοῦ δύο ὄντας ἐρίζειν· δεῖ γὰρ τὸν ἕτερον τῷ ἑτέρῳ πείθεσθαι· ἢ τὸ οὐκ ἔχει λόγον ἀντὶ τοῦ οὐ παρέχει πρόφασιν. ἄλλως: οὐ διστασμοῦ, φησί, καὶ ἀμφιβολίας προσδεῖται τοῖς δύο πότερον δεῖ ταῦτα ποιεῖν ἢ προσερίζειν.

469 σιγὴ παρ᾽ ὑμῶν: εὐλαβὴς οὖσα ἡ Χρυσόθεμις κρύπτειν ἀξιοῖ τὸν χορόν.

471 πεῖραν] τὴν ἐπιχείρησιν.

472 εἰ μὴ ἐγὼ παράφρων: ὁ χορὸς ἐκ τοῦ ὀνείρου προμαντευόμενος θαρρεῖν παραινεῖ τὴν Ἠλέκτραν.

ἀνόητος.

475 εἶσιν ἁ πρόμαντις: ἡ προμαντευομένη τὰ μέλλοντα ἢ τοῖς συνετοῖς προγινωσκομένη.

477 μέτεισιν: μέτεισι, φησί, παρέχουσα τούτοις δύναμιν ὡς χειρώσασθαι τοὺς ἐχθρούς.

482 οὐ γάρ ποτ᾽ ἀμνηστεῖ: οὐ γὰρ ἀμνημονεῖ, φησί, τῶν τολμηθέντων καθ᾽ ἑαυτοῦ ὁ βασιλεὺς ἀλλ᾽ ἐπεξελεύσεται κατὰ τῶν ἐχθρῶν.

484 χαλκόπληκτος: ἀπὸ κοινοῦ τὸ ἀμνηστεῖ, οὐδ᾽ ἀμνημονεῖ, φησίν, ἡ χαλκόπληκτος γένυς ἡ ἑλοῦσα αὐτὸν ἀλλὰ καὶ αὐτὴ τιμωρὸς ἥξει κατὰ τῶν δρασάντων.

485 γένυς] εἶδος πελέκεως.

488 ἥξει καὶ πολύπους: ἡ Ἐρινὺς ἡ ἐκείνῳ τῷ φόνῳ ἀκολουθήσασα· οὕτως ἐν τῷ ὑπομνήματι.

ἥξει καὶ πολύπους: [τὸ πολύπους ἐν ὑπερβολῇ ἔθηκεν] ἐν δὲ τῷ ὑπομνήματι κεῖται πολύπαις· ἐπεὶ γάρ, φησίν, ἐν τῷ Ὀρέστῃ τὴν πᾶσαν ἐλπίδα ἔχουσι

---

ἥξει καὶ πολύπους
6 δεῖ] διὰ L, corr. Lasc. — 24 ἀμφήκης γένυς: deleto primo lemmate L. — 26 τὸ — ἔθηκεν] inclusi.

τὸ πολύπαις ἐν ὑπερβολῇ ἔθηκεν, ἡ πολλὰ κακὰ τίκτουσα.

491 χαλκόπους: ἡ στερεὰ καὶ ἀκοπίαστος ἐν τῷ ἐπιέναι κατὰ τῶν φονέων.

492 ἄλεκτρ' ἄνυμφα: ἀντὶ τοῦ ⟨οὐ⟩ νενομισμένα ἀλλὰ παράνομα διὰ τὴν μοιχείαν.

δύσλεκτρα καὶ κακόνυμφα.

493 μιαιφόνων | γάμων: ἤτοι ἐπὶ τῆς Ἐρινύος ἐστὶν ὁ λόγος, ἐπέβη γὰρ ἐπὶ ἁμιλλήματα γάμων ἄλεκτρα καὶ ἀνύμφευτα, ἐπέβη δὲ τούτοις οἷς οὐ θέμις, οὓς οὐκ ἐχρῆν εἰς γάμον ἤγαγεν ἡ Ἐρινὺς διόπερ καὶ νῦν αὐτοὺς μετελεύσεται ἢ ἐπὶ τῆς Κλυταιμήστρας ἐστὶ τὸ λεγόμενον, τὸ δὲ οἷσιν οὐ θέμις ἐπὶ τῶν γάμων· φησὶν οὖν ὅτι ἐπέβη γάμοις ἡ Κλυταιμήστρα οἷς οὐκ ἔπρεπεν.

495 πρὸ τῶνδέ τοι μ' ἔχει: λείπει τὸ ἐλπὶς ἢ θάρσος με ἔχει μὴ πρὸ τούτων, τῶν προειρημένων, Αἴγισθόν φησι καὶ Κλυταιμήστραν, τοῦτο τὸ ὄναρ ἄψεκτον ἡμῖν προσπελάξειν ἀλλ' ἀκουσόμεθα ψεγομένου αὐτοῦ παρὰ τῶν θεασαμένων αὐτὸν λεγόντων ὅτι κακῶν ἦν σημαντικός. ἄλλως: θαρρῶ ὅτι τοῖς δρῶσι ταῦτα τὰ ἄδικα καὶ συνδρῶσιν αὐτοῖς οὐκ ἔσται ἄψεκτος ὁ ὄνειρος· παθόντες γὰρ ψέξουσι τὸ ὀφθέν.

ἔχει θάρσος· τὸ τοι σύνδεσμος παραπληρωματικός.

497 τέρας] τὸ τοῦ ὀνείρου τέρας.

498 τοῖς δρῶσι καὶ συνδρῶσιν: ὑμῖν ταῖς δρώσαις ὑπὲρ Ἀγαμέμνονος καὶ ἡμῖν ταῖς συνδρώσαις καὶ συναχθομέναις.

---

5 οὐ add. V, Suid. v. ἄλεκτρα. — 17 θάρσος] ex v. 479. — 18 αἴγισθός φησι καὶ κλυταιμήστρα L, corr. V. — 20 αὐτὸν] sc. τὸν ὄνειρον. — 26 δρώσας (σ ex ν) L.

500 *δεινοῖς*] τοῖς ἐκφοβοῦσιν τοὺς ὁρῶντας ὅταν ὦσι δεινοί.

501 *θεσφάτοις*] τοῖς τῶν ὀνείρων. Fol. 22b

503 *εὖ κατασχήσει*] οὐ τοῖς ἑωρακόσιν ἀλλὰ τῇ Ἠλέκτρᾳ.

504 *ὦ Πέλοπος*: Φερεκύδης φησί, Πέλοψ νικήσας τὸν ἀγῶνα καὶ λαβὼν τὴν Ἱπποδάμειαν ὑπέστρεφεν ἐπὶ τὴν Πελοπόννησον μετὰ τῶν ὑποπτέρων ἵππων καὶ τοῦ Μυρτίλου, καθ' ὁδὸν δὲ καταλαβὼν αὐτὸν προϊόντα πρὸς τὸ φιλῆσαι αὐτὴν ἔρριψεν εἰς θάλασσαν.

οἷον ἦν καὶ τὸ πρῶτον

πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε.

505 *πολύπονος ἱππεία*: πολύπονος γενομένη πᾶσιν Ἀργείοις· καὶ ἑρμηνεύει αὐτὸ λέγων

ὡς ἔμολες αἰανὴ
τᾷδε γᾷ·

αἰανὴ δὲ θρηνητικὴ παρὰ τὸ αἲ αἲ ἐξ οὗ γίνεται.

508 *εὖτε γὰρ ὁ ποντισθείς*: ὁ νοῦς τοιοῦτός ἐστιν, ἀφ' οὗ ὁ Μυρτίλος ἀπέθανεν οὐ διέλιπεν αἰκία τοὺς πολυκτήμονας δόμους· ὁ γὰρ Ἑρμῆς πατὴρ Μυρτίλου ἐμήνισε τοῖς Πελοπίδαις.

511 *αἰκίαις*] αἰκισμοῖς, ὕβρεσιν.

512 *πρόρριζος*] ἀντὶ τοῦ παντάπασιν.

516 *ἀνειμένη μέν*: ἄνεσιν ἔχουσα· πανταχόθεν δὲ

---

6 *Φερεκύδης*] fr. 93 (I p. 94). — 9 *τὸν Μυρτίλον* L, corr. G, V. — 13] v. 10. — 16 et 18 *αἰανῆ* (bis) et *θρηνητικῆ* L, corr. V. — 21 *πολυκτύμους* G, *πολυκτήτους* V.

διαφόροις ἐξαλλαγαῖς τὸν ἔλεον Ἠλέκτρας διαγράφει ὁ ποιητής.

518 αἰσχύνειν φίλους] ἀντὶ τοῦ καθ' ἡμῶν λέγειν.

526 ἐξ ἐμοῦ· καλῶς: ἴδιον ῥητορικῆς τόλμης τὸ μὴ ἀρνεῖσθαι μὲν πιθανὴν δὲ τῶν δεδραμένων ἐπεισφέρειν αἰτίαν· οὐχ ὡς δίκαια δὲ πραττούσης συνηγορεῖ ὁ ποιητὴς ἀλλ' ἵνα μὴ ἀργὸν εἴη τὸ πρόσωπον.

539 πότερον ἐκείνῳ παῖδες: λαμβάνονταί τινες τοῦ ποιητοῦ ἐκ τῶν Ὁμηρικῶν ἐπεὶ ἐκεῖνος μίαν γεγονέναι τῷ Μενελάῳ τὴν Ἑρμιόνην φησίν, οὗτος δὲ διπλοῦς ὁμομητρίους φησὶν αὐτῷ γεγονέναι· ὅμως οὐ συμφωνεῖ αὐτῷ Ἡσίοδος

ἣ τέκεθ' Ἑρμιόνην δουρικλειτῷ Μενελάῳ,
ὁπλότατον δ' ἔτεκεν Νικόστρατον, ὄζον Ἄρηος·

οὐ περὶ μεγάλων δὲ αἱ τοιαῦται διαφωνίαι τοῖς ποιήμασιν ὥστε οὐ πάνυ δεῖ αὐτοὺς ἐπὶ τῶν τοιούτων ἐνοχλεῖν ἀφεμένους τῶν ἀναγκαιοτέρων ἅπερ παρατηρεῖν ἐχρῆν, ταῦτα δέ ἐστι τὰ ἠθικὰ καὶ χρήσιμα ἡμῖν τοῖς ἐντυγχάνουσιν· ὅρα οὖν πῶς ἐκείνῳ τῷ μέρει τῆς ἱστορίας κατεχρήσατο ὅτι συνέφερεν τῷ λόγῳ τῆς Κλυταιμήστρας.

Ἑρμιόνη καὶ Νικόστρατος.

540 τῆσδε] ἀντὶ τῆς Ἰφιγενείας.

542 ἢ τῶν ἐμῶν Ἅιδης: τὸ ἑξῆς, ἢ τῶν ἐμῶν

---

4 τόλμης] τέχνης V. — 9 ἐπιλαμβάνονται H. — 10 ἐκεῖνος] Od. δ 14. — 12 οὐ] corruptum; om. Lasc., οὕτω Elmsl., οὖν Wolffius. — 14 Kinkel. fr. 117. δουρικλυτῷ L, corr. Wunderus. — 17 αὐτοὺς] αὐτοῖς L, correxi. — 25 ἢ in lemmate L.

*τέκνων δαίσασθαι πλέον ἵμερόν τινα Ἅιδης ἔσχεν ἢ τῶν ἐκείνης;*

545 *παρεῖτο*] *ἠμελεῖτο, παρῃρεῖτο.*

550 *δύσθυμος*: . . . . . . . . . . . . . Fol. 23a
*κακόβουλος.*

551 *γνώμην δικαίαν*: *οἷον λογισμῷ χρησαμένη δικαίῳ τότε τοὺς πέλας ψέγε ἡμᾶς μὴ τὸ πᾶν ὀργῇ καταχαριζομένη. τινὲς τοὺς πέλας τοὺς περὶ Ἀγαμέμνονα.*

552 *ἐρεῖς μὲν οὐχὶ νῦν*: *οὐκ ἂν εἴποις ⟨νῦν ὅτι⟩ λυπήσασά σε τοιαῦτα ἀντακήκοά σου· ἐμοῦ γὰρ εἰπούσης οὐδὲν σὺ προκατήρξω τῆς εἰς ἐμὲ λοιδορίας.*

556 *εἰ δέ μ' ὧδ' ἀεὶ λόγοις*: *εἰ πρὸ τῶν λόγων ἐπυνθάνου εἰ τὸ λέγειν σοι ἐφίημι οὐκ ἂν ἦς λυπηρά.*

558 *πατέρα φὴς κτεῖναι*: *ὡς ῥήτωρ διεῖλεν εἰς κεφάλαια τὸν λόγον· καὶ πρῶτον κεφάλαιον ὅτι οὐδὲν χαλεπώτερον τούτου εἴ γε δικαίως, δεύτερον ὅτι οὐ δικαίως ἀλλὰ πεισθεῖσα Αἰγίσθῳ· δείκνυσι δὲ ὅτι ἀκουσίως ὁ Ἀγαμέμνων ἔθυσεν τὴν Ἰφιγένειαν ἐν τῇ Αὐλίδι.*

561 *ὡς οὐ δίκῃ γ' ἔκτεινας*: *ἐναντίον τῷ*

*ἡ γὰρ δίκη νιν εἷλεν*

*τὸ ὡς οὐ δίκῃ γ' ἔκτεινας.*

*ἀλλὰ σ' ἔσπασεν πειθώ*: *αὕτη γὰρ ἀπόδειξις οὐ διὰ τὴν θυγατέρα ἀλλὰ διὰ τὸν μοιχὸν πεφονεῦσθαι*

---

7 *τότε*] *τῷ τε* L, corr. Lasc. *ψέγειν* L, corr. Lasc. — 10 *νῦν ὅτι* add. G, H. — 11 *λυπήσασά με τοιαῦτα ἀντακήκοας ἐμοῦ γὰρ* L, corr. Wunderus. — 21 *τῷ*] *τὸ* L, corr. G. — 22] v. 528. *εἰ* (*ἡ* G) *γὰρ δίκηι νιν εἷλεν* L. — 24 *πειθὼ*] *πιθὼ* ut in textu L.

τὸν Ἀγαμέμνονα, τὸ καὶ μέχρι τοῦ νῦν αὐτῷ συνεῖναι καὶ συνοικεῖν.

παρήγαγεν, παρέπεισεν.

563 τίνος | ποινὰς] λείπει ἡ διά.

567 ἐξεκίνησεν] ἐξεδίωξεν.

575 πολλὰ κἀντιβάς: ἀντιπαραταττόμενος καὶ μὴ βουλόμενος· διὰ δὲ τῆς λέξεως δηλοῖ τὸ ἀκούσιον τῆς προαιρέσεως.

577 εἰ δ' οὖν· ἐρῶ γὰρ καὶ τὸ σόν: πιθανῶς κατασκευάζει ὅτι εἰ νομοθετεῖς ἄλλον ἀντ' ἄλλου ἀναιρεῖσθαι κατὰ σαυτῆς νομοθετεῖς.

583 πρώτη θάνοις ἂν] ἀντὶ τοῦ Ἀγαμέμνονος.

584 ἀλλ' εἰσόρα: ὅρα, φησί, μὴ παρακάλυμμα τῶν σαυτῆς ἀδικημάτων ταύτην κομίζῃ τὴν πρόφασιν.

591 ἐπαινέσαιμ' ἂν] γράφε ἐπαινέσωμεν.

595 ἐπεὶ πάνυ αὐτὴν διήλεγξεν ἐπὶ τῇ μοιχείᾳ ὥσπερ ἐπιλαμβανομένη αὐτῆς κἀκείνην ἐκμειλισσομένη φησὶν ὅτι οὐδὲ νουθετεῖν σε δεῖ· χαλεπαίνεις γὰρ ὡς λοιδορουμένη· τὸν ἔλεγχον οὖν νουθεσίαν ὠνόμασεν.

Fol. 23 b 607 εἴτε στόμαργον: εἰ γέγονα τούτοις τοῖς κακοῖς ἔνοχος, στόμαργος καὶ ἀναιδὴς ὡς φής, οὐ καταισχύνω σου τὴν φύσιν ἐλάττων σου οὖσα ἀλλ' ὁμοία σοι φανήσομαι. ζηλῶ σε, φησίν· ὥσπερ γὰρ σὺ κατὰ Ἀγαμέμνονος Αἴγισθον ἔθρεψας οὕτως κατὰ σοῦ τὸν Ὀρέστην ἐγώ.

φλύαρον.

610 ὁρῶ μένος πνέουσαν: ὁ χορὸς τεθαυμακὼς ἐπὶ τοῖς λόγοις φησίν, ὁρῶ μένος πνέουσαν τὴν παῖδα,

---

18 χαλεπαίνοις L, corr. V. — 19 νουμοθεσίαν deletis literis μο L. — 22 σοι] σου L, corr. H.

εἰ δὲ σὺν δίκῃ αὐτῇ τοῦτο τὸ μένος σύνεστιν τούτου [τοῦ μένους] φροντίδα οὐκέτι ὁρῶ γινομένην ὑπό τινος· εὐσχημόνως δὲ ἐς τὴν Κλυταιμήστραν τὸν λόγον ἀποτείνουσιν· ἀντιλαμβανομένη οὖν ἐκείνη τοῦ λόγου φησὶ

ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος;

611 οὐκέτ᾽ εἰσορῶ] ἀντὶ τοῦ οὐκ ἐννοῶ.

614 καὶ ταῦτα τηλικοῦτος: ὑπὲρ ἐπιτάσεως, ὅτι εἰ καὶ δοίη τις ἐξουσίαν ἀντιλέγειν τοῖς γονεῦσιν ἀλλ᾽ οὐ ταύτῃ παρθένῳ οὔσῃ ἔπρεπε τηλικαύτῃ.

615 αἰσχύνης ἄτερ] ἀντὶ τοῦ ἀναισχύντως.

616 κἀγώ, φησίν, αἰσθάνομαι ἐπονείδιστα πράσσουσα καὶ οὐ κατὰ τὴν ἐμὴν ὥραν.

620 ἐμφαντικώτερον τὸ ἐξαναγκάζει με διὰ τῆς προθέσεως.

622 τοῦτο ὅμ⟨οιόν ἐστι⟩ τῷ

εὖ νυν ἐπίστω

⟨καὶ τὰ ἑξῆς⟩.

ἦ σ᾽ ἐγὼ καὶ τἄμ᾽ ἔπη: ὡς δὴ καὶ τοῖς ἔργοις καὶ τοῖς λόγοις μετριάζουσα πρὸς αὐτὴν ταῦτά φησιν ἡ Κλυταιμήστρα.

627 πιθανῶς ἐπὶ τὸν ἀγρὸν ἔφη τὸν Αἴγισθον ὑπὲρ τοῦ παρρησίαν δοθῆναι τῇ κόρῃ.

628 πρὸς ὀργήν: οὐκ ἐμμένεις οἷς πρότερον εἶπας· ἔφη γὰρ

καὶ μὴν ἐφίημι·

---

2 τοῦ μένους delevit Iahnius. — 4 ἀντιλαμβανομένης L, corr. Lasc. ἐκείνης L, corr. G. — 6] v. 612. — 16 τῷ] τὸ L, corr. Dind.; scholii literas evanidas habet G. — 17] v. 616. νῦν ut in textu L. — 22 τῶν ἀγρῶν G. ἔφη] v. 313. — 24 lemma in L οὔκουν ἐάσεις (v. 630) mutavit Heathius. εἶπα L, corr. G. — 26] v. 556. καί μιν L.

*πιθανῶς δέ· οὐ γὰρ χρὴ ἐν ταῖς ἀντιλογίαις θυμοῦσθαι τὸν ἡττώμενον.*

632 *ἐῶ, κελεύω: δεῖ γὰρ καὶ προκόπτειν τὴν ὑπόθεσιν διὸ οὐ ποιεῖται πλείονας ἀντιρρήσεις.*

634 *ἔπαιρε δὴ σύ: πρὸς θεράπαινάν φησι· θύματα δὲ θυμιάματα.*

635 *πάγκαρπ'] ἐπεὶ πανόσπρια ἔθυον τοῖς θεοῖς.*

637 *προστατήριε] ὅτι πρὸ τῶν θυρῶν ἵδρυται.*

638 *βάξιν] λόγον.*

*οὐ γὰρ ἐν φίλοις: οὐκ εἰς τὸν χορὸν ἀποτείνεται ἀλλ' εἰς τὴν Ἠλέκτραν.*

642 *σπείρῃ ματαίαν: τὸ ματαίαν οὐκ ἔστι ψευδῆ ἀλλ' ἀνωφελῆ· τί γὰρ πράξει τοὺς κρατοῦντας διαβάλλουσα;*

*κενήν, διὰ τὸ μηδὲν αὐτὴν δύνασθαι πρᾶξαι.*

643 *ἀλλ' ὧδ' ἄκουε: οὕτως ἐμοῦ λεγούσης· τῇδε γὰρ ἀντὶ τούτῳ τῷ τρόπῳ.*

645 *δισσῶν ὀνείρων: ἢ διπλῆν ἐχόντων φύσιν ὡς καὶ Ὅμηρος*

*δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσιν ὀνείρων·*

*δύναται δὲ τὸ δισσῶν καὶ ἀριθμὸν ἐμφαίνειν ὡς δύο αὐτῆς ὀνείρους θεασαμένης καὶ τὸ μὲν ἓν φάσμα ἡγησαμένης εἶναι ὑπὲρ οὗ καὶ πέπομφεν ἀποτροπιασθησομένην τὴν Χρυσόθεμιν τάχα δὲ καὶ ἕτερον αὐτὴν κεκίνηκεν ὑπὲρ οὗ καὶ εὔχεται τῷ Ἀπόλλωνι ὅπερ οὐδὲ ἐξεῖπε πρός τινα οὐδὲ πρὸς τὸν Ἀπόλλωνα· ἢ*

---

7 *ἐπεὶ πανόσπρια*] *ἐπίπαν ὄσπρια* L, corr. Coraius *λόγιος Ἑρμῆς* (Vindob.) 1821 fascic. I p. 9; cf. Suid. et Hesych. s. v. — 13 *πράξοι* L, corr. Lasc. — 20 Od. *τ* 562.

*δισσῶν τῶν ἀμφιβόλων καὶ δισσοποιῶν· ἔλυσεν δὲ αὐτὸ εἰποῦσα*

*εἰ μὲν πέφηνεν ἐσθλὰ δὸς τελεσφόρα*
*εἰ δ' ἐχθρὰ τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες.*

650 *ἀλλ' ὧδέ μ' αἰεὶ ζῶσαν: τὸ ὅλον ὑπὲρ τοῦ* Fol. 24a *Αἰγίσθου εὔχεται, διὰ δὲ τοῦ πληθυντικοῦ τοῦ φίλοις τὸ τολμηρὸν τοῦ λόγου ἐπεκάλυψεν.*

652 *φίλοισί τε ξυνοῦσαν: ἀκατάλληλον φαίνεται τὸ ὅλον ἐὰν μὴ ᾖ τὸ οἷς ξύνειμι νῦν ἀπὸ κοινοῦ λαμβανόμενον, φίλοισί τε καὶ τέκνοις συνοῦσαν οἷς ξύνειμι νῦν· τὸ δὲ δύσνοια ἀπ' αὐτῶν εἰς ἐμὲ ἢ ἀπ' ἐμοῦ.*

653 *εὐημεροῦσαν] ἑκάστῃ ἡμέρᾳ εὖ διάγουσαν.*

656 *τὰ περὶ τῆς τελευτῆς Ὀρέστου ἔοικεν εὔχεσθαι.*

657 *τὰ δ' ἄλλα πάντα: ζητοῦσι διὰ τί ἐνταῦθα μὲν οὐκ ἐμφαίνει περὶ τοῦ Ὀρέστου ὕστερον δὲ τοῦ ἀγγέλου ἐλθόντος φαίνεται ἐφηδομένη· ῥητέον οὖν ὅτι νῦν μὲν προσδοκῶσα αὐτὸν ἥξοντα ζῶντα τότε δὲ ὡς κατὰ ἀποθανόντος παρρησιάζεται ἄφοβος γενομένη.*

660 *ξέναι γυναῖκες: ὁ παιδαγωγὸς ἥκει πλασάμενος τὰ περὶ τοῦ θανάτου Ὀρέστου· τὸ δὲ ἦθος αὐτοῦ μέσον ἐστὶν οὔτε ἀποικτιζομένου παντάπασιν οὔτε ἡδομένου ἀλλ' ὡς ξένου· εὐκαίρως δὲ ἥκει ἔξω οὐσῶν ἀμφοτέρων, πρῶτον ἵνα μὴ δισσολογοίη πρὸς ἀμφοτέρας ἀπαγγέλλων, δεύτερον πρὸς τὸ δηλωθῆναι τὴν γνώμην ἀμφοτέρων· πιθανῶς δὲ ἐρωτᾷ ὡς ἀγνοῶν.*

664 *στοχάζεται ἐκ τῆς στολῆς καὶ τῶν βασιλείων.*

---

3 *πέφυκεν* L. — 6 *φίλους* L, corr. G. — 12 *ἀπ' ἐμοῦ] εἰς αὐτοὺς* addit Lasc. — 13 *ἡμέρῃ* L, corr. G, Suid. v. *εὐημεροῦσαν*. — 16 *τοῦ ἀγγέλου ἐλθόντος*] v. 666.

668 *ἐδεξάμην*] *λείπει ἡ ἀπό, ἀπεδεξάμην.*

675 *τί φής, τί φής: οἱ ἡδέος ἀκούοντες λόγου κἂν πάνυ σαφῶς ἀκούσωσι δὶς καὶ τρὶς τὰ αὐτὰ ἀκούειν βούλονται.*

*μὴ ταύτης κλύε: οἷον μὴ διὰ ταύτην φυλάξῃ εἰπεῖν τὰ ἑξῆς.*

679 *τῷ τρόπῳ διόλλυται;: ἴδιον καὶ τοῦτο τῶν ἡδομένων· μαθόντες γὰρ τὸ πᾶν καὶ τὸ κατὰ μέρος ἡδόμενοι πυνθάνονται· ἔπειτα ὁ ποιητὴς βούλεται εὐδοκιμεῖν περὶ ἀγῶνος λέγων Ἑλληνικοῦ.*

682 *οὔπω ἦν ἐπὶ Ὀρέστου ὁ Πυθικὸς ἀγών.*

684 *τινὲς δόλιχόν φασιν ἀγωνίσασθαι Ὀρέστην ὅς ἐστιν κʹ στάδια κʹ ἐτῶν ὄντα ὥστε τῇ φύσει ἴσα τὰ τέρματα τοῦ δρόμου ἐποιήσατο.*

686 *δρόμου δʼ ἰσώσας: οἷον οὐκ ἐλλείπων κατὰ τὰ τέρματα ἀλλʼ ἴσος φανεὶς τοῖς τέρμασι κατὰ τὴν αὐτοῦ φύσιν τῆς νίκης ἔτυχεν. ἄλλως: ὁμοίως καὶ ἴσως τεθαυμασμένος ἐν τῷ ἀγωνίσματι ὡς ἐπὶ τῇ μορφῇ ἀντὶ τοῦ ὡς θαυμαστὸς ἐπὶ τῇ μορφῇ οὕτως καὶ ⟨ἐπὶ⟩ τῷ ἔργῳ ἐφάνη, ὡς ἐπὶ τῷ εἴδει οὕτως καὶ ⟨ἐπὶ⟩ τῷ ἔργῳ.*

*τοῦ ἐκ ποδὸς δρόμου.*

691 *ἅλμα, δίσκον, ἄκοντα, δρόμον, πάλην ταῦτα ἐν μιᾷ τις ἠγωνίζετο ἡμέρᾳ.*

Fol. 24 b 696 *ὅμοιον αὐτῷ τὸ Πινδαρικὸν*

---

11 *οὔπω*] excidit χ; cf. annot. ad schol. v. 49. — 12 ad v. 686 refert Elmsl. — 17 *ἄλλως*] *ἀλλʼ* L, corr. Wolffius. — 19 *θαυμαστῶς* L, corr. V, Suid. v. *δρόμοις*. — 20 *ἐπὶ* add. Suid. — 21 *ἐπὶ* add. V, Suid. — 23 *ταῦτα — ἡμέρᾳ*] „verba elisis vocalibus trimetrum efficientia“ Dind.

θεὸς ὃ καὶ πτερόεντ' αἰετὸν κίχε καὶ θαλασσαῖον
παραμείβεται
δελφῖνα ⟨καὶ ὑψιφρόνων τιν' ἔκαμψε βροτῶν⟩.

701 φιλοτίμως διὰ πιθανότητα ταῦτα ἐπεξεργάζεται.

702 ζυγωτῶν] οἷον διζύγων.

703 κἀκεῖνος] ὁ Ὀρέστης.

706 λεύκιππος Αἰνειᾶν: ἐμοὶ δοκεῖ ὄνομα εἶναι. οὐδὲν γὰρ ἄτοπον ἐπίθετον εἶναι· ὄνομα γὰρ κύριον οὐ προτέθεικεν πρὸς τὸ τοῦ πράγματος ἀνεξέλεγκτον· ὅλη γὰρ ἡ διήγησις τοῦ ἀγῶνος πέπλασται· οἱ δὲ Αἰνειᾶνες τῶν Θεσπρωτῶν ἢ Θρᾳκῶν· Ὅμηρος

τῷ δ' Ἐνιῆνες ἕποντο μενεπτόλεμοί τε Περαιβοί.

707 προσχαρίζεται Ἀθηναίοις ἐν Ἀθηναίοις λέγων.

716 ὡς ὑπερβάλοι χνόας τις αὐτῶν: οἷον πρῶτοι τοῦ δρόμου γενέσθαι· χνόας δὲ τὰς τοῦ ἄξονος σύριγγας [καὶ τὰ ἱππικὰ φρυάγματα], ἀπὸ δὲ μέρους τὸ ὅλον ἅρμα· σύριγξ δέ ἐστι τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος καὶ αὐτὴ δὲ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτως καλεῖται· λείπει δὲ τὸ ἐλαύνων· τὸ δὲ χνόας βαρέως· τὰ γὰρ εἰς η καθαρὸν δισσύλλαβα τῷ ο παραληγόμενα ἀπὸ δύο συμφώνων ἀρχόμενα ὧν

---

1 Pyth. II, 50. ἀετὸν L. — 6 διζύγων] ἀζύγων L, εὐζύγων Wolffius, corr. Schneidewinus Iahn. annal. 67 p. 509; cf. Herod. IV, 170. 189. — 8 αἰνειᾶν etiam in textu L. — 9 οὐδὲν γὰρ κ. ἑ.] novum scholion incipit. — 10 προστέθεικεν Wolffius. ἀνεξέλικτον L, corr. Lasc. — 12 αἰνειᾶν L, corr. G. — 13 Il. β 749. δ' ε∗ν∗ιῆνες L, fuit haud dubie αἰνειῆνες pr. — 15 πρῶτος Lasc. — 17 καὶ — φρυάγματα] om. Suid. v. χνόας. — 19 ἐμβαλόμενον L, corr. G, Suid. — 22 τῷ] τὸ L, corr. V, Suid. Canon Herodiani περὶ καθολ. προσῳδ. ιβ' (p. 305, 22 sqq.).

προηγεῖται δασὺ βαρύνεται, χνόη, φθόη, χλόη· τὸ δὲ πνοὴ οὐκ ἔχει δασύ.

ὑπερδράμοι.

717 φρυάγμαθ'] φυσήματα, πνεύματα.

720 στήλην: τὸν λίθον τὸν καμπτῆρα.

721 ἔχριμπτ' ἀεί: ὅ ἐστι προσεπέλαζε τῷ καμπτῆρι ἀεὶ τὴν ὀπὴν τοῦ τροχοῦ.

722 σειραῖον ἵππον: τὸν ἔξω τοῦ ζυγοῦ, τὸν δεξιόν, προσκείμενον δὲ τῷ καμπτῆρι ⟨τὸν⟩ ἀριστερόν.

724 ἄστομοι] σκληρόστομοι.

725 ἐξ ὑπαντήσεως ἐνετίναξαν ἐκείνων ὑποστρεφόντων.

727 Βαρκαίοις ὄχοις: τοῖς Λιβυκοῖς· Βάρκη γὰρ πόλις Λιβύης ἡ νῦν Πτολεμαῒς καλουμένη.

730 ναυαγίων: τῶν πτωμάτων.

731 γνοὺς δ' οὑξ Ἀθηνῶν δεινός: δεινὸς ἀντὶ τοῦ ἔμπειρος· πρὸς εὔνοιαν δὲ τῶν ἀκροωμένων ἐπαινεῖ αὐτὸν ὡς Ἀθηναῖον.

732 ἔξω παρασπᾷ] φυλαξάμενος, φησί, τούτοις συμπεσοῦσιν ἐμπεσεῖν ἔξω ἀπ' αὐτῶν παρασπᾷ.

κἀνακωχεύει: ἀνασειράζει, κατέχει· ἀνακωχεύειν γὰρ κυρίως λέγεται ὅταν χειμῶνος ὄντος ἐν τῷ πελάγει στείλαντες τὰ ἅρμενα σαλεύωσιν αὐτόθι μὴ διαμαχόμενοι τῷ πνεύματι· μεταφορικῶς οὖν ἐπὶ τοῦ ἅρματος εἴρηκεν ⟨ὅτι⟩ οὐ διημιλλήσατο ἀλλ' ἀφῆκε τὸν τῶν ἵππων κλύδωνα καὶ ὕστερος ἠρέμα ἤλανεν.

735 τῷ τέλει πίστιν φέρων: οἷον πιστεύων ὅτι

3 ὑπεκδράμοι L, corr. Blaydesius. — 9 τὸν add. V, Suid. v. σειραῖος ἵππος. — 11 ἐπετίναξαν L, correxi. — 20 περισπᾷ L, corr. G. — 23 στείλαντες τὰ ἅρμενα] Homericum ἱστία στέλλειν Od γ 10, alibi. — 25 ὅτι add. Suid. v. ἀνακωχεύει.

ἐπὶ τῷ τέλει τοῦ δρόμου παρελεύσεται· ἢ νομίζων ἕως τοῦ τέλους οὕτως ἐλαύνειν.

738 κἀξισώσαντε] ὁ Ὀρέστης καὶ ὁ Ἀθηναῖος.

743 λύων] χαυνῶν διὰ τὸ συμπεπλέχθαι.

745 χνόας] τὸ λεπτὸν μέρος τοῦ ἄξονος τὸ τρι- Fol. 25a
βόμενον ὑπὸ τῆς χοινικίδος· εἴρηται δὲ ὁμοίως τὸ παρ' Ἀπολλωνίῳ

ἄξονος ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο.

751 λαγχάνει] γράφε τυγχάνει.

755 καὶ ἵνα ἀξιόπιστος εἴη ὁ ἄγγελος ⟨καὶ⟩ ἵνα πάλιν τὸ περιπαθὲς εἴη τῇ Ἠλέκτρᾳ.

758 δειλαίας σποδοῦ] ἀντὶ αἰτιατικῆς.

766 ὡς μὲν γυνὴ κεκίνηται ἐπὶ τῷ πάθει πρὸς δὲ τὸν κίνδυνον ἀποβλέπουσα ἥδεται, διὰ δὲ τὸν χορὸν ἀλγεῖν ὑποκρίνεται.

781 ὁ προστατῶν] ὁ ἐπιγινόμενος.

818 ξύνοικος ἔσομαι: τοῦτο οἰκονομικῶς· εἰ γὰρ Fol. 25b
ἀπορήσασα ἐπὶ τοῖς ἠγγελμένοις ἀπέκτεινεν ἑαυτὴν διελύετο ἂν ἡ ὑπόθεσις.

823 ποῦ ποτε κεραυνοὶ Διός: ἐν τοῖς ἔμπροσθεν παραμυθούμενος ὁ χορὸς τὴν Ἠλέκτραν ἔλεγεν

θάρσει μοι, τέκνον, θάρσει·
ἔστι μέγας ἐν οὐρανῷ
Ζεὺς

καὶ τὰ ἑξῆς· νῦν οὖν πανταχόθεν ἀπεγνωσμένης τῆς

---

8 Argon. 1, 757. ἀξόμενος πλήμνῃσι — αἰνυμένοιο L. — 10 καὶ add. Neuius. — 11 πάλιν] cf. schol. v. 95. — 16 ὁ ἐπιγενόμενος L, corr. Suid. v. προστατῶν. — 18 ἀπέκτεινεν] ἀπέκλινεν L, corr. Michaelis. — 22] v. 173 ubi θάρσει μοι, θάρσει, τέκνον L. — 23 ἔστι] ἔτι pr., ἐστὶ rec. in textu L.

σωτηρίας καὶ προστεθείσης τῆς κατὰ τὸν Ὀρέστην συμφορᾶς εἰκότως παρακεκινδυνευμένῳ τῷ λόγῳ ἐχρήσατο ὥστε καὶ περὶ θεῶν τι εἰπεῖν καὶ ὅλως ἀμφιβάλλειν εἰ [ὅλως] ἐν οὐρανῷ εἰσιν εἴ γε περιορῶσι τοιαῦτα γινόμενα· καὶ τὸν μὲν ἥλιον ὡς πάντα ἐφορῶντα παρέλαβεν τὸν δὲ Δία ὡς πάντων δεσπότην ὄντα· δεῖ δὲ τὸν ὑποκριτὴν ἅμα τῇ βοῇ ἀναβλέψαι τε εἰς οὐρανὸν καὶ τὰς χεῖρας ἀνατεῖναι ὃ δὴ κωλύει ὁ χορὸς

μηδὲν μέγ' ἀύσῃς.

826 κρύπτουσιν ἕκηλοι] οἷον οὐκ ἄγουσιν εἰς φῶς τὴν τούτων παρανομίαν.

827 θρηνεῖ ἡ Ἠλέκτρα τὸν ἀδελφόν· ἐλεεινὸν δὲ λίαν τὸ τοιοῦτο μέρος.

830 ἐν τοῖς προφανέσι καὶ ἀθεραπεύτοις πάθεσι μετριάζειν αὐτὴν ἀξιοῦσιν.

831 ἀπολεῖς: δαιμονίως τοῦτο ἐπήγαγεν· οὐ γὰρ ἀμελήσασα τῶν ἀπὸ τοῦ χοροῦ ἐπιτιμήσεων ἐρεῖ τι ἀπρεπὲς εἰς θεοὺς ἐπεὶ καὶ τελέως ἀμηχανεῖ ὁ Σοφοκλῆς εἰς τοὺς θεοὺς βλασφημῶν (καὶ γὰρ εἷς ἦν τῶν θεοσεβεστάτων) ἀλλ' ὥσπερ δυσχεραίνουσα ταῖς ἐπιτιμήσεσιν ὡς ψυχραῖς τοῦτό φησιν.

ἀποκναίεις με, φησίν, ἐν τοῖς ἀθεραπεύτοις παρηγοροῦσα.

---

4 ὅλως inclusi. περιορῶσι] τὰ addunt G, V. — 5 πάντα ἐφορῶντα] Homericum ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς Il. γ 277, al.; cf. schol. Trach. v. 96. 101. — 6 πάντων δεσπότην] Oed. Tyr. v. 904 Ζεῦ, πάντ' ἀνάσσων. — 7 δεῖ δὲ κ. ἑ.] pertinent ad v. 829 (G). βοῇ] βουλῇ L, corr. G, V. — 10] v. 830. — 14 μέρος] μέλος Br. — 15 ἐν τοῖς κ. ἑ.] post φησιν schol. v. 831 lecta in L huc retraxit Elmsl.

837 οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων | χρυσοδέτοις: ταῖς διὰ χρυσοῦ γενομέναις τέχναις τοῦ δοθέντος Ἐριφύλῃ διὰ τὴν Ἀμφιαράου ἔξοδον· διὰ τὰς τῆς γυναικὸς αὐτοῦ ἀπάτας. ἄλλως: τὸ χρυσοδέτοις ἕρκεσιν ἢ ἐπὶ τῶν ἁρμάτων φησὶν οἷον τοῖς χρυσῷ δεδεμένοις καὶ κατεσκευασμένοις ἅπερ ἕρκη εἶπεν οἷον περιφράγματα καὶ τείχη ὧν οὐκ ἐξέφυγεν ὁ Ἀμφιάραος ἀλλ' ἐνεσχέθη ἐν αὐτοῖς ἢ χρυσοδέτοις τῷ ὅρμῳ ὃς ἦν ἐκ χρυσοῦ πεποιημένος, τὸ δὲ ἕρκεσιν οἷον τοῖς δεσμοῖς καὶ φράγμασιν καὶ τῇ ἀνάγκῃ τῇ ἀπὸ τοῦ ὅρμου γενομένῃ· τὸ δὲ γυναικῶν ἀπάταις ἢ τῇ ἀπὸ τῆς γυναικὸς ἀπάτῃ ἢ καθόλου τὸν χρυσὸν γυναικῶν ἀπάτην εἶπεν· θαυμαστῶς δὲ εἴκασεν ὅτι καὶ οὗτος διὰ γυναικῶν ἀπώλετο.

839 ὁ χορός φησιν ὅτι καὶ ἐν αὐτῷ τῷ θανάτῳ ἐστί τις εὐτυχία· τιμὴν δὲ αὐτῷ φησιν ἔσεσθαι διὰ τὸ μαντεύεσθαι αὐτόν.

840 οὐ προσιεμένη οὐδὲ τοὺς τοιούτους λόγους Fol. 26a
θρηνεῖ ἡ Ἠλέκτρα.

841 πάμψυχος ἀνάσσει: ἀντὶ πασῶν ψυχῶν ἀνάσσει αἳ δὴ ἐν χρείᾳ καθεστᾶσι τῆς ἐκείνου μαντικῆς· ἢ πάμψυχος ὁ διασῴσας πᾶσαν τὴν ἑαυτοῦ ψυχὴν ἢ ὁ διὰ παντὸς τὴν ψυχὴν σῴζων ὅ ἐστιν ἀθάνατος.

842 μνησθεῖσα τῆς Ἐριφύλης ἡ Ἠλέκτρα ἀναβοᾷ ἐπὶ τῷ ἤθει αὐτῆς δυσχεραίνουσα.

843 φεῦ δῆτ'· ὀλοὰ γάρ: ὁ χορὸς συγκατατιθέμενός φησιν ὅτι δικαίως ἀνεβόησας· ὀλοὴ γὰρ ἦν ἡ Ἐριφύλη· ὅρα δὴ οὖν εἰ ἔπραξέ τι ὁ χορός· ἀπέσπασε

---

16 ἔσεσθαι] γενέσθαι Michaelis. — 21 αἳ] ἃ L, corr. Br.

γὰρ αὐτὴν τοῦ θρηνεῖν ἐμβαλὼν τὸ κατ' αὐτὴν μύθευμα.

844 ἐδάμη] ἡ Ἐριφύλη δῆλον ὅτι· ὁ δὲ λόγος ἀποφαντικός, ὁ χορὸς δὲ ὡς πυνθανομένης ἐπάγει τὸ ναί.

846 οἶδ' οἶδ'· ἐφάνη: οἶδα ὅτι ἐδάμη· ἐφάνη γὰρ ὁ ἐπιμελούμενος τοῦ ἐν τῷ φόνῳ τουτέστι τιμωρὸς τοῦ πατρός, ἐμοὶ δὲ οὐδεὶς πάρεστιν ἀποθανόντος Ὀρέστου· ὁ μὲν οὖν χορὸς παρέβαλεν τὸν Ἀγαμέμνονα τῷ Ἀμφιαράῳ ἵνα Ἠλέκτρα εὔελπις εἴη περὶ τοῦ πατρὸς ὅτι τεύξεται τιμῆς τινος ἡ δέ φησιν ὅτι Ἀμφιάραος ὑπὸ τοῦ Ἀλκμαίωνος ἔτυχεν τιμωρίας· πάνυ δὲ περιπαθῶς τὸ πάθος τοῦ Ἀγαμέμνονος εἰς ἑαυτὴν μεταφέρει διὰ τοῦ ἐμοὶ δ' οὔτις.

μελέτωρ] φροντιστής, ᾧ ἐπιμελὲς γέγονεν μετελθεῖν τὸν τοῦ πατρὸς θάνατον.

847 ἀμφὶ τὸν ἐν πένθει] τὸν Ἀμφιάραον.

849 δειλαία δειλαίων: καὶ τοῦτο εἶδος παραμυθίας, τὸ εἴς τι παραχωρεῖν τοῖς λυπουμένοις καὶ συγχωρεῖν αὐτοῖς κλαίειν ὡς ἐπὶ ἀπαρηγορήτοις κακοῖς.

850 κἀγὼ τοῦδ' ἵστωρ: οἶδα, φησίν, ὅτι δειλαία εἰμὶ αὐτῷ τούτῳ τῷ πανσύρτῳ τῶν πολλῶν ἀχέων· πανσύρτῳ δὲ πάντα σύροντι τὰ κακὰ ἢ πανσύρτῳ τῷ μετὰ πάσης ὁρμῆς τῶν κακῶν ὡρμημένῳ· παμμήνῳ δὲ τῷ πολυχρονίῳ καὶ διηνεκεῖ· δειλαία οὖν εἰμι οἷον κατ' αὐτὸ τοῦτο καθὸ πάντα τὰ ἄχη εἰς ἡμᾶς συνεσύρη καὶ διηνεκῆ παρέμεινεν.

---

4 ἀποφατικὸς L, corr. G. — 7 τιμωρὸς] ὁ τιμωρὸς G, Suid. v. μελέτωρ. — 14 διὰ τὸ L, corr. G. — 23 πάντα] τῷ πάντα G, Suid. v. ἵστωρ.

*κἀγὼ τοῦδ' ἵστωρ: κἀγὼ τούτου ἐπιστήμων εἰμί, ὅτι ταλαίπωρός εἰμι.*

851 *πανσύρτῳ] πάντα σύροντι ⟨τὰ⟩ κακά.*

*παμμήνῳ] πολυχρονίῳ.*

854 *μή μέ νυν μηκέτι: μηκέτι οὖν με, φησί, παρηγορήσητε ὅπου γε οὐ πάρεισιν αἱ τῶν ἐλπίδων ἀρωγαὶ αἱ ἀπὸ τῶν ἀδελφῶν· κοινοτόκων δὲ τῶν ἀπ' ἀμφοῖν τῶν γονέων· διὰ δὲ τοῦ εὐπατριδᾶν ηὔξησε τοῦ πατρὸς τὸ ἐγκώμιον οἷον εὐγενῶν καὶ γενναίων οἷος ἦν καὶ Ὀρέστης γεγονὼς ἐξ Ἀγαμέμνονος· ἢ κοινοτόκων τῶν ἀδελφικῶν, τῶν τοῦ αὐτοῦ πατρὸς κεκοινωνηκότων.*

855 *παραγάγῃς] παρηγορήσῃς.*

856 *διὰ μέσου τὸ τί φῄς;*

858 *κοινοτόκων] τινὲς τῶν πᾶσι κοινῶν.*

861 *ἦ καὶ χαλαργοῖς: ταῖς λευκόποσιν ἢ ταῖς ταχείαις ἐν ταῖς χηλαῖς, ⟨τὰς⟩ χηλὰς δὲ ἀντὶ τῶν ὁπλῶν παρέλαβεν· εἰπόντος δὲ τοῦ χοροῦ*

*πᾶσι θνατοῖς ἔφυ μόρος*

*ἀντιτίθησιν ἡ Ἠλέκτρα, ἆρα οὖν οὕτω πέπρωται τοῖς θνητοῖς τελευτᾶν ἐν ταῖς ἁμίλλαις ταῖς ἱππικαῖς; τμητοῖς δὲ ὁλκοῖς τοῖς ἱμᾶσιν· ὁλκοὺς οὖν ἀντὶ τῶν ἱμάντων ἐν οἷς εἱλκύσθη.*

863 *τμητοῖς ὁλκοῖς] τμητοῖς λώροις.*

864 *ἄσκοπος ἁ λώβα] ἀπροόρατος ὁ θάνατος.*

---

3 *σύροντι]* *σύρον* L, correxi et *τὰ* addidi. — 5 *νυν]* *νῦν* (ut in textu) L. — 10 *ἀ**γαμέμνονος* L; erasa *δε* (sequentis vocabuli *ἀδελφικῶν*) fuerunt. — 15 *κοινῶν* (ῦ supra ν) i. e. *κοινωνῶν* L. — 16 *ταῖς λευκόποσιν]* *τοῖς λευκόποσιν* L, corr. Br. — 17 *τὰς* addidi. — 18 *ὅπλων* L, corr. Lasc. — 19 *θνητοῖς* L, corr. G.

865 *πῶς γὰρ οὔκ; εἰ ξένος*: τοῦ χοροῦ εἰπόντος ⟨ὅτι⟩ ἀπροΐδὴς ἡ κατὰ τὸν ἀγῶνα ⟨λώβη⟩ ἡ Ἠλέκτρα πρὸς ἕτερον ἐπήγαγεν ὅτι δὴ πέπονθεν ἀπροσδοκήτως ἐπ' ἀλλοδαπῆς τελευτῶν καὶ ἐμοῦ χωρίς.

868 *κέκευθεν*] ἀντὶ τοῦ κρύπτεται.

871 *ὑφ' ἡδονῆς τοι*: ἡ Χρυσόθεμις παραγέγονεν τὰ ὑπὸ τοῦ Ὀρέστου ἐγκείμενα τῷ τάφῳ εὑροῦσα. τοῦτο τὸ πρόσωπον εἰσήγαγεν ἵνα μὴ εἰς μακρὸν ἡ ὀλόφυρσις Ἠλέκτρας γένηται.

872 λείπει ἡ ὑπέρ, ὑπὲρ τοῦ σὺν τάχει μολεῖν.

875 *τῶν ἐμῶν σὺ πημάτων*: τῶν νοσημάτων τὰ μὲν θεραπεύεται προσκαίροις θεραπείαις ὅπερ ἐστὶν ἄρηξις τὰ δὲ θεραπεύεται παντελῶς ὅπερ ἐστὶν ἴασις· κατ' οὐδένα οὖν τρόπον προκόπτει τὰ ἡμέτερα ἐπὶ τὸ βέλτιον.

876 *ἰδεῖν*] ἔτι.

878 *κλύουσ', ἐναργῶς*: ἐπὶ τοῦ κλύουσα πρὸς βραχὺ διαστικτέον ἵν' ᾖ πάρεστ' ἐναργῶς, ἴσθι τοῦτο κλύουσα ἐμοῦ.

Fol. 26 b 888 *βλέψασα θάλπῃ*: ἀντὶ παρακόπτεις τὰς φρένας ὡς ἐν πυρετῷ· ἀνηκέστῳ δὲ πυρὶ ὡσεὶ ἔλεγεν ἀνιάτῳ ἐλπίδι· ἀνέλπιστον γὰρ τὸ παραγενέσθαι Ὀρέστην ἤδη ἀπολωλότα.

θερμαίνει τῇ χαρᾷ.

893 *ἀρχαῖον*] τὸν ἐκ πολλοῦ ᾠκοδομημένον.

895 *πηγὰς γάλακτος*] πολὺ γάλα ὡς τὸ δακρύων πηγὰς ἀντὶ πολλὰ δάκρυα.

---

2 ὅτι add. G. ἀπροειδὴς L, corr. Lasc. λώβη add. G. — 3 πέπονθεν] τέθνηκεν G. — 8 τοῦτο ⟨δὲ⟩ τὸ πρόσωπον? — 20 βλέψασα] κλέψασα (ut in textu) L, corr. apographa. παρακόπτῃ Suid. v. ἀνήκεστα. — 24 θερμαίνεις L, corr. Dind. — 26 δακρύων πηγὰς] Antig. v. 803.

896 *ἐστὶν*] *εἰσίν.*

*θήκην πατρὸς*] *τὴν σορὸν λέγει ἔνθα τὸ λείψανον ἐτέθη.*

901 *νεώρη*] *τὸν νεωστὶ ἠρτημένον· ἢ ἐκ νέου τινὸς καὶ ὥραν ἔχοντος νέαν.*

903 *ψυχῇ σύνηθες ὄμμα*] *ὅραμα ὃ ἀεὶ ἐφανταζόμην κατὰ ψυχήν.*

908 *τὸ μὲν ἀπὸ τῆς ὄψεως τοῦ βοστρύχου κινεῖσθαι ἐπὶ τὴν ἀλήθειαν γελοῖον· πιθανῶς οὖν ἐπάγει ὅτι οὐδενὶ ἄλλῳ ἢ τῷ πάνυ συνημμένῳ κατὰ γένος τὰ τοιαῦτα προσήκει.*

909 *τόδε*] *τὸ ἀποκείρασθαι τὰς κόμας δῆλον ὅτι.*

915 *τἀπιτίμια*] *τὰ ἐπὶ τῇ τιμῇ γινόμενα τοῦ πατρός.*

*γράφε τἀγλαΐσματα.*

919 *κῦρος*] *ἐπιτευκτικὴ καὶ κυρία.*

*ἐπιτυχία.*

922 *φέρει*] *γράφε ἔφυς.*

929 *ὅ ἐστιν οὐ κατὰ τοῦτο τῇ μητρὶ δυσχερὴς ὀφθεὶς καὶ διὰ τῆς ἀγγελίας λυπήσας αὐτήν.*

*δυσχερὴς*] *γράφε δυσμενής.*

933 *μνημεῖ' Ὀρέστου*] *τοῦ Ὀρέστου μνημόσυνα.* Fol. 27 a

942 *ὧν ἐγὼ φερέγγυος;*] *ὧν ἐγὼ εἰς τὸ πράττειν ἀσφαλής εἰμι;*

*φερέγγυος λέγεται ὁ ἀναδεξάμενός τι καὶ δυνάμενος ἀποτῖσαι οἷον ἀξιόχρεως, δυναμένη ἀναδέξασθαι* ⟨*τὴν ἐγχείρησιν*⟩.

---

25 *ἀναδεξάμενος*] *ἐκδεξάμενος* L, correxi. — 27 *τὴν ἐγχείρησιν* add. G, Suid. v. *φερέγγυος*.

944 τοῦτο τῷ προτέρῳ ὅμοιον

ἢ τοὺς θανόντας ἐξαναστήσω ποτέ;

945 εὐτυχεῖ] ἀντὶ τοῦ ἐπιτυγχάνεται.
946 ξυνοίσω] συμπονήσω.
τοῦτο συνῳδὸν τῷ

τί γὰρ κελεύεις ὧν ἐγὼ φερέγγυος;

953 πράκτορ'] ἔκδικον.
958 ποῖ: ἀντὶ εἰς τίνα χρόνον;
964 οὐ γὰρ ὧδ' ἄβουλός ἐστ' ἀνήρ: προειποῦσα τὰ δεινὰ τὸ χαλεπώτερον ἐπιφέρει, ὡς οὐδὲ μεταβολῆς τυχεῖν ἐλπὶς ἔνεστιν.
972 γνώμη.
975 τίς γάρ ποτ' ἀστῶν: ὅρα ἐν τούτῳ τῷ λόγῳ τὰς ἐπιχειρήσεις τῆς Ἠλέκτρας ὅτι πάντα τέθεικεν τὰ ἀγαθὰ ἅπερ αὐταῖς παρέσται ἀνελούσαις τὸν Αἴγισθον, τὰ δὲ ἕτερα ὑπεξῄρηκεν ὁποῖα πείσονται ἁλοῦσαι· καίτοι ἦν κατὰ τὸ πάθος τῆς Ἠλέκτρας κἀκεῖνα προσθεῖναι, ὅτι καλόν μοι ἀποθανεῖν οὕτω δυστυχούσῃ ὁποῖα καὶ πρόσθεν ἔλεγεν

ὡς χάρις μὲν ἂν θάνω
λύπη δ' ἐὰν ζῶ·

ἀλλ' ᾔδει τὸ περίφοβον τῆς Χρυσοθέμιδος ὥστε ἑκοῦσα τοὺς δειλοτέρους τῶν λόγων ὑπεξεῖλεν ὥστε μηδὲ εἰς ἔννοιαν τῶν κινδύνων ἐκείνην καταστῆσαι.
977 ἴδεσθε τώδε: ἐπὶ τῶν θηλυκῶν τοῖς ἀρσενι-

---

2] v. 940. — 6] v. 942. — 20] v. 821. ἂν θάνω] ἣν κτάνῃ in textu L. — 21 ἐὰν] ἂν L. — 23 τοὺς δεινοτέρους Michaelis.

κοῖς [ἀρσενικοῖς] ἄρθροις κέχρηται ὅπερ σύνηθες Ἀττικοῖς· τὼ χεῖρε γάρ φασι· καὶ Ὅμηρος

τὼ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι.

τώδε ἀντὶ τάσδε.

978 ὣ ἀντὶ αἵτινες.

980 προὐστήτην φόνου] προέστησαν περὶ τοῦ φόνου τῶν ἐχθρῶν.

981 τούτω] ἀντὶ τοῦ ταύτας. Fol. 27 b

990 ἐν τοῖς τοιούτοις ἐστίν: ὁ χορὸς ὑπερτεθαυμακὼς τὸ τολμηρὸν τῆς Ἠλέκτρας φησὶν ὅτι μετὰ προγνώσεως καὶ ἀσφαλείας τὰ τοιαῦτα δεῖ καὶ λέγειν καὶ ἀκούειν.

992 εἰ φρενῶν | ἐτύγχαν'] εἰ ἐφρόνει.

993 ἐσῴζετ' ἂν | [φησὶ] τὴν εὐλάβειαν: οὐ σῴζει, φησί, τὴν εὐλάβειαν ἀλλ' ἔστι θρασεῖα καὶ ῥιψοκίνδυνος.

995 τοιοῦτον θράσος | αὐτή θ' ὁπλίζῃ: λίαν ἐμφαντικῶς τῷ θράσει φησὶν αὐτὴν ὁπλίζεσθαι ὡς μηδὲν ἀμυντήριον αὐτὴν ἔχουσαν ἢ μόνον θράσος.

997 γυνὴ μὲν οὐδ' ἀνήρ: ταῦτα πάντα ὅμοιά ἐστι τοῖς ἐν Ἀντιγόνῃ, εἰ ⟨δέ⟩ τις παραβάλοι εἴσεται τοῖς αὐτοῖς διανοήμασι χρησάμενον Σοφοκλέα.

998 τοῦτο δεύτερον κεφάλαιον.

999 δαίμων δέ: τοῦτο τρίτον κεφάλαιον καὶ ἀναγκαιότερον, ὡς οὐδὲ ἐκ παραδόξου κατορθῶσαι ἡμᾶς τὴν ἐπιχείρησιν εἰκὸς τῆς τύχης μὴ συλλαμβανομένης.

1000 ἀπορρεῖ] ἐλαττοῦται, μαραίνεται.

---

1 alterum ἀρσενικοῖς inclusit Lasc. — 3 Il. ε 778 ubi vulgo αἱ δέ; cf. schol. Oed. Col. v. 1676. — 14 φησὶ del. G, V. — 17 ἐμφατικῶς L, corr. G. — 21 ἐν Ἀντιγόνῃ] v. 61 sqq. δὲ addidi.

1005 λύει γὰρ ἡμᾶς οὐδέν: οὐ λυσιτελεῖ γὰρ ἡμῖν, φησίν· οὐκ ἀπαλλάσσει τῶν κακῶν.

ἀντὶ οὐδὲν ἡμᾶς ἐκλύσεται.

1006 δυσκλεῶς θανεῖν: ἐνταῦθα δηλοῖ τὸ μετ' αἰσχρᾶς τιμωρίας ἀποθανεῖν· καὶ Ὅμηρος

μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην.

1007 ἀλλ' ὅταν θανεῖν | χρῄζων: ὅρα ὅτι τοῦτο δηλοῖ τὸ δυσκλεῶς.

λείπει τὸ καλῶς.

1008 εἶτα μηδὲ τοῦτ' ἔχῃ: οὐ τὸ τοῦ θανάτου δεινόν ἐστιν ἀλλ' ὅταν ἐπιθυμῶν τις ἀποθανεῖν ὥστε τὰς παρούσας κολάσεις ἐκφυγεῖν τότε μηδὲ τούτου τύχῃ· τοιαῦτα οὖν πεισόμεθα ὧν ὁ θάνατος αἱρετώτερος.

1013 ἀλλὰ τῷ χρόνῳ ποτὲ] ἐν ὑπερβατῷ.

1018 ἃ 'πηγγελλόμην: ἀντὶ ἃ ἠξίουν, τὸ δὲ παρακαλεῖν ἐπαγγέλλειν φησίν.

1019 ἀλλ' αὐτόχειρί μοι] παρατήρει κἀνθάδε τὴν εὐτολμίαν ὡς καὶ ἐν Ἀντιγόνῃ.

γράφε ἀλλ' οὐδὲν ἧσσόν μοι.

1026 εἰκὸς γὰρ τὸν κακῶς ποιεῖν ἐπιχειροῦντα καὶ πάσχειν κακῶς· τοῦτο δὲ Πινδαρικὸν

ἐπεὶ
ῥέζοντά τι καὶ παθεῖν ἔοικεν.

1028 οἷον ἔσται καιρὸς ὅτε με εὐφημήσεις.

Fol. 28 a 1036 οὐκ ἀτιμάζω σε ἀλλὰ προνοοῦμαί σου.

---

6 Od. χ 462. μὲν] με L, corr. G. — 17 ἐπαγγέλλειν] ἀπαγγέλλειν L, corr. schol. rec. II p. 268, 5. φησίν] φασίν? — 19 ἐν Ἀντιγόνῃ] v. 45. 49. 69 sqq. 80. — 23 Nem. IV, 31. ἐπηρεάζοντα L, corr. G.

1039 *ἦ δεινὸν εὖ λέγουσαν: δεινὸν ἐμὲ καλῶς λέγουσαν δοκεῖν ἐξαμαρτάνειν· ἐπεὶ δὲ ἡ Χρυσόθεμις καλῶς λέγει, δοκεῖ δὲ ἁμαρτάνειν διὰ τὸ μὴ πράσσειν τὰ δίκαια ὑπὲρ ἐκδικίας τοῦ πατρὸς πρὸς τοῦτό φησιν ἡ Ἠλέκτρα, δεινόν ἐστι σύμφορα δοκοῦσαν συμβουλεύειν ἄδικα πράσσειν καὶ ἁμαρτάνειν, ὅπερ ἡ Χρυσόθεμις εἰς Ἠλέκτραν τρέπει ἐν τῷ ἑξῆς στίχῳ.*

1040 *εἴρηκας ὀρθῶς ᾧ σὺ πρόσκεισαι κακῷ: τὸ ἁμαρτάνειν· λέγουσα γὰρ δίκαια καὶ εὐπρεπῆ ἐν αὐτοῖς ἁμαρτάνεις· ἀλυσιτελῆ γὰρ ἐπιχειρεῖς ποιεῖν.*

1044 *ἀλλ' εἰ ποιήσεις ταῦτα: οἷον τοῖς δεινοῖς περιπεσοῦσα ἐπαινέσεις με σύμφορά σοι συμβουλεύσασαν.*

1046 *πάλιν] εἰς τοὐπίσω, εἰς τὸ ἐναντίον.*

1052 *μεθέψομαι] ἀντὶ κοινωνήσω.*

1056 *παρὰ τὸ Ὁμηρικὸν*

*ῥεχθὲν δέ τε νήπιος ἔγνω.*

1058 *τί τοὺς ἄνωθεν φρονιμωτάτους: τὸ ἄνωθεν ἢ τόπου ἢ χρόνου ἐστίν, ἄνωθεν ἐκ φύσεως ἢ τοὺς ἐν τῷ ἀέρι· οἰκεῖον δὲ τῷ χορῷ ἀγανακτοῦντι ἐπὶ τῇ Κλυταιμήστρᾳ τὸν περὶ τῶν ἀλόγων ἐνταῦθα παραλαβεῖν λόγον ὅτι ἐν τοῖς ἀλόγοις ζῴοις φυσική τίς ἐστι φιλοστοργία, ἡ δὲ Κλυταιμήστρα ἄστοργος· τὸ δὲ ἑξῆς, τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς ὁρῶντες καλῶς κηδομένους τῆς τροφῆς ἀφ' ὅτων τε ἂν βλαστῶσι καὶ ἀφ' ὧν ἂν ὄνησιν εὕρωσιν· ἐπὶ τῶν τέκνων*

---

8 *τὸ*] *τῷ* Lasc. — 12 *συμβουλεύσασαν*] edebatur *βουλεύσασαν*; emendationem, quam feceram *Beitr.* p. 83, confirmavit ipse L. — 17 Il. *ρ* 32. — 21 *περιλαβεῖν* L, corr. G. — 25 et p. 148, 1 *βλαστῶσι*] sic L etiam in textu pro *βλάστωσιν* Schaeferi.

τὰ δύο, ἀφ᾽ ὧν τ᾽ αὐτοὶ βλαστῶσι, τὰ τέκνα, ἀφ᾽ ὧν τε [καὶ] ὄνησιν εὕρωσιν· λέγονται δὲ οἱ πελαργοὶ γεγηρακότας τοὺς γονεῖς βαστάζειν τοῖς πτεροῖς ἕως ὅτου πτεροφυήσωσιν.

1062 τάδ᾽ οὐκ ἐπ᾽ ἴσας τελοῦμεν: καλῶς ὁ χορὸς καὶ ἑαυτὸν συγκαταλέγει ἵνα μὴ δοκῇ φορτικὸς εἶναι τούτοις καθ᾽ ὧν τὸν λόγον πεποίηται.

1065 οὐκ ἀπόνητοι: ἀντὶ οὐκ ἐπὶ πολὺ ἔσονται ἀθῷοι οἱ περὶ Αἴγισθον καὶ Κλυταιμήστραν.

1066 ὦ χθονία βροτοῖσιν: οὐ τὴν ἐπίγειόν φησιν ἀλλὰ τὴν κατὰ γῆς χωρῆσαι δυναμένην.

1068 τοῖς ἔνερθ᾽ Ἀτρείδαις] ἢ Ἀγαμέμνονα ἢ Ὀρέστην· δοκοῦσι γὰρ αὐτὸν τεθνηκέναι.

1069 ἀχόρευτα φέρουσ᾽ ὀνείδη: ἐφ᾽ οἷς οὐκ ἄν τις χορεύσειε, τὰ πένθιμα ὀνείδη, ὀνείδη δὲ ἐπειδὴ ὄνειδος ἦν τῇ Κλυταιμήστρᾳ ἐπιχαίρειν Ὀρέστῃ.

1070 ὅτι σφίσιν ἤδη: ἡ ἀπότασις πρὸς τὴν Κλυταιμήστραν· ἄγγειλον οὖν, φησίν, ὅτι τὰ κατ᾽ οἶκον νενόσηκεν καὶ οὐκ ἔστιν ὑγιῆ.

1072 οὐκέτ᾽ ἐξισοῦται: οὐκέτι ἴσα φρονοῦσιν ὡς ἐν φιλίᾳ διαιτώμεναι ἀλλὰ στασιάζουσι πρὸς ἀλλήλας.

1074 πρόδοτος δὲ μόνα σαλεύει: κινδυνεύει, ἐκ μεταφορᾶς τῶν νηῶν· μόνη δὲ αὐτὴ ἐφ᾽ ἑαυτῆς χωρὶς ἀγκύρας.

---

1 αὐτοὶ] αὐτοῖς L, corr. schol. rec. II p. 269, 1. – 2 καὶ inclusi. — 4 ὅτου] ὅπου L, corr. G, V; ἐξ ὅτου Wolffius; Aristot. H. anim. 9, 13: φασὶ . . . ἀντεκτρέφεσθαι ὑπὸ τῶν ἐκγόνων οὐ μόνον γηράσκοντας ἀλλὰ καὶ εὐθὺς ὅταν οἷοί τ᾽ ὦσι. — 13 γὰρ καὶ αὐτὸν G. — 15 χορεύσειε ὀνείδη δὲ τὰ πένθιμα ὀνείδη ἐπειδὴ L, correxi. — 21 στασιάζουσι] στα<sup>σιά</sup>ζουσι L. — 24 αὐτὴ] αὕτη L, αὐτῇ G, corr. Dind.

1075 τὸν ἀεὶ πατρός: λείπει ἡ περί, περὶ τοῦ πατρὸς στενάχουσα ὡς τὸ Ὁμηρικὸν

τῶν πάντων οὐ τόσσον ὀδύρομαι ἀχνύμενός περ
ὡς ἑνός·

τὸ δὲ ἑξῆς, ἀεὶ τὸν τοῦ πατρὸς μόρον στενάχουσα· ἢ τὸν ἀεὶ εἰς τὸν ἀεὶ χρόνον.

λείπει ἡ περί.

1078 πρόνοιαν οὐκ ἔχουσα τοῦ μὴ ἀποθανεῖν ὅ Fol. 28b
ἐστιν ἀφειδοῦσα τῆς ἰδίας τύχης καὶ ῥιψοκινδυνοῦσα.

1079 τό τε μὴ βλέπειν ἑτοίμα: ἑτοίμη καὶ τῆς ὄψεως στέρεσθαι τουτέστιν ἀποστερηθῆναι τῶν ὀμμάτων ἀντὶ καὶ ἀποθανεῖν ἑτοίμη καὶ ζῶσα κολάζεσθαι καὶ τοῦτο λέγει διδύμην Ἐρινύν· ἢ ἐπὶ τοῦ θανάτου τὰ δύο, ἑτοίμη μὴ βλέπειν αὐτοὺς ἀλλ' ἐν σκότει γενέσθαι τοῦ θανάτου ἐν τῇ αὐτῇ Ἐρινύι γενομένη τῷ Ἀγαμέμνονι ὅ ἐστι διπλῆ Ἐρινύς.

1080 διδύμαν — Ἐρινὺν] Αἴγισθον καὶ Κλυταιμήστραν.

1084 νώνυμνος τῆς εὐκλείας θέλων γενέσθαι.

ὦ παῖ παῖ: οὕτω καὶ σύ, ὦ παῖ, εἵλου τὸν αἰῶνα πάγκλαυτον· κοινὸν δὲ διηνεκῆ [καὶ κοινὸν] ἐπὶ παντὸς αἰῶνος ἑαυτῆς.

1087 καταπολεμήσασα τὸ αἰσχρὸν καὶ νικήσασα οἷον τοὺς ἐχθροὺς καταγωνισαμένη.

1095 ἃ δὲ μέγιστ' ἔβλαστε | νόμιμα: ἃ δὲ φυσικὰ καὶ μέγιστα νόμιμα ἔβλαστε τούτων ἀποφερομένην τὰ

---

3 Il. χ 424. — 6 χρόνον * * * * * L. — 9 τύχης] ψυχῆς Heathius. — 15 Ἐρινύει L, corr. G. — 21 καὶ κοινὸν] omisit G. — 26 ἀποφερομένη L, corr. Lasc.

ἄριστα· ἢ ἐριστὰ ἀμφηρίστῳ τῇ εὐσεβείᾳ τῇ τοῦ Διὸς ἢ ἐριστὰ τῇ εὐσεβείᾳ ᾗ ἄν τις ἐρίσειεν ἀντὶ περισπουδάστῳ, προσφερομένην τῇ εὐσεβείᾳ τὰ νόμιμα ἀντὶ μετὰ εὐσεβείας πράττουσαν.

1097 ἄριστα τᾶ Διὸς] γράφε ἄριστα τᾷ Ζηνός.

1098 θαυμαστὴ ἡ οἰκονομία τοῦ ποιητοῦ μὴ ἅμα τῇ ἀπαγγελίᾳ τοῦ θανάτου κομίσαι τὰ λείψανα ἵνα εὔλογος πρόφασις τῆς παρόδου γένηται τῷ Ὀρέστῃ καὶ παραυτὰ ὁ ἀναγνωρισμὸς πρὸς αὔξησιν τοῦ πάθους.

Ὀρέστης πάρεστιν σὺν τῷ Πυλάδῃ κομίζων τὰ λείψανα τῶν λογοποιουμένων ὀστῶν ἑαυτοῦ.

1101 ἱστορῶ] γράφε μαστεύω.

1102 ἀζήμιος] ἀληθὴς καὶ οὐχ ὑπέχων ζημίαν τοῦ ψεύδους.

1117 ἀξιοπίστως ἄγαν Ὀρέστης σκληρός ἐστιν οὐχ οἷον δεῖ ἄγγελον εἶναι καὶ συναχθόμενον τοῖς ἀτυχήμασιν ἔσθ' ὅτε.

1123 εἰκὸς αὐτοῖς ἕπεσθαί τινας· περιπαθῶς δὲ λίαν τὸ ἥτις ἐστίν.

Fol. 29 a 1126 λαβοῦσα τὸ τεῦχός φησιν· ὑπερφυῶς δὲ ἔχει τῇ διαθέσει λαβοῦσαν καὶ βαστάζουσαν τὰ ὀστᾶ ὀδύρεσθαι· Ὅμηρος . . . . . . . . . . . . . .

ζωόν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα.

1127 λοιπὸν μνημεῖον.

1137 σῆς κασιγνήτης δίχα] οἷον τῆς μόνης σοῦ κηδομένης· ὅλα δὲ ἐπιτέταται τῷ πάθει διὰ τὸ παρεῖ-

---

1 et 2 ἐριστὰ] ἐριστᾷ utrobique Heathius. — 4 πράττουσα L, corr. Lasc. — 5 ἀρίστα ταζην (o supra ν) L, corr. Triclinius. — 20 τοῦ τεύχους L, corr. G, V. — 23 Il. τ 288. σ' ἔλιπον L. — 26 ὅλα] ὅλους (scribe ὅλως) G; an ὅλη?

ναι τὸν Ὀρέστην ὡς καὶ Πηνελόπη παρόντα Ὀδυσσέα θρηνεῖ παρ' Ὁμήρῳ ἐν οἷς φησι

⟨κλαιούσης⟩ ἑὸν ἄνδρα παρήμενον·

ἐνθάδε δὲ δίκαιον δηλοῦσθαι ὅτι ἀδελφὴ αὐτοῦ ἐστιν ἡ ἐν τῷ λόγῳ· ἀγνοῶν γὰρ αὐτὴν Ὀρέστης ἀπολοφυρομένην γνώσεται.

1142 ἐν σμικρῷ κύτει] τῇ θήκῃ.

1146 οὐ γὰρ ἦς, φησί, τῆς μητρός ποτε ἢ καὶ ἐμοῦ μᾶλλον ἵνα ἐπὶ τοῦ ἦσθα διαστείλωμεν, οὐκ ἦσθα τῆς μητρὸς ἀλλὰ μᾶλλον καὶ ἐμοῦ, οἷον ἐγώ σοι μᾶλλον ἤμην μήτηρ ἤπερ ἡ Κλυταιμήστρα, τὸ δὲ φίλος ἀντὶ ὦ φίλος. ἄλλως: οὐκ ἦς τῆς μητρὸς φίλος μᾶλλον ⟨ἢ⟩ καὶ ἐμοῦ ἀντὶ οὐ τῇ μητρὶ προσέκεισο μᾶλλον· ἄμεινον δὲ τὸ ἕτερον διὰ τὴν ἡλικίαν τοῦ Ὀρέστου ἐφ' ᾗ τὸ φίλον εἶναι αὐτὸν καὶ διακρίνειν τινὰ τότε οὐκ ἐνεχώρει· μικρὸς γὰρ ἦν.

1171 πιθανῶς πρόσκειται τὸ ὄνομα τῆς Ἠλέκτρας ἵνα μάθῃ Ὀρέστης· οὐ γὰρ μόνη ἦν αὐτῷ ἀδελφή· τοῖς δὲ κοινοῖς βοηθήμασι χρῆται ὁ χορὸς ἐν τῇ παρηγορίᾳ.

1174 ἀναγκαῖον ἐμφανισθῆναι τὸν Ὀρέστην· δι- Fol. 29 b
εφθάρη γὰρ τὸ συνεκτικὸν τῆς ὑποθέσεως σιωπῶντος αὐτοῦ.

1178 τοῦτο δύναται μὲν καὶ ἡ Ἠλέκτρα λέγειν εὐπρεπέστερον δὲ τῷ χορῷ παράκειται ἵνα μὴ περὶ

---

3 Od. τ 209. ἑὸν] σὸν L, τὸν V. — 5 ἡ] ἢ L, corr. Br. — 8 et 12 ἦς] ἦσθα (ut in textu) G. — 12 ὦ φίλος] ὄφελος L, correxi. ἢ καὶ] sic V; καὶ tantum factum ex ἢ L. — 22 γὰρ] ἂν addit G. — 24 τοῦτο κ. ἑ.] ad. v. 1176 adscripta in L huc retulit Lasc. — 25 περίκειται L, correxi coll. schol. v. 1236. Ai. 82.

τοῦ ἑαυτῆς εἴδους εἴπῃ τι· θαυμαστῶς δὲ τὴν μὲν Κλυταιμήστραν ἀπὸ τοῦ λαμπροῦ σχήματος ὁ ἄγγελος ἐγνώρισεν οὗτος δὲ οὐ γινώσκει τὴν Ἠλέκτραν διὰ τὸ κεκακῶσθαι τὸ σῶμα.

1180 ἆρα οὐ περὶ ἐμοῦ τάδε;

1184 μοι] δή.

ἐπισκοπῶν] καθορῶν.

1185 ἐγὼ] οὐδέν.

1186 ἐν τῷ] ἐν τίνι ἢ διὰ τί;

ποίῳ λόγῳ εἰρημένῳ τοῦτον συνῆψας τὸν λόγον;

1193 τῇδε] εἰς τοῦτο.

1194 οὐκ ἴσα πράσσει τῷ τῆς μητρὸς ὀνόματι.

1211 πρὸς δίκης] ἡ πρὸς ἀντὶ τῆς μετά.

1214 οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;] ὥστε μηδὲ ὀνομάζειν αὐτόν;

1215 οὐχὶ σὸν] ἀλλ' ἐμόν.

οὐ σοὶ προσῆκον.

1217 ἠσκημένον] κατεσκευασμένον· ἀσκήματα γὰρ τὰ κατασκευάσματα.

Fol. 30a 1223 σφραγῖδα] τὸν δακτύλιον.

1225 ὦ φθέγμ'] λείπει φίλτατον.

1233 γοναὶ σωμάτων] ἀντὶ ἑνικοῦ, γονὴ σώματος ἐμοὶ φιλτάτου, τοῦ Ἀγαμέμνονος.

1235 εἴδεθ' οὓς ἐχρήζετε] ἀντὶ ἐμέ.

1236 ἀντὶ σίγα ἕως ἂν κατὰ νοῦν ἀποβῇ τὸ πᾶν.

παράκειται ἑκάστῳ τὸ οἰκεῖον· ἡ μὲν γὰρ γυνή τε οὖσα καὶ ⟨παρὰ⟩ προσδοκίαν εὐτυχοῦσα θρασυτέρα

---

1 εἴπῃ] εἶπε L, corr. G, V. — 2 ὁ ἄγγελος] v. 663. — 11 εἰς τοῦτο] legit ἀνάγκη (ut in textu) pro ἀνάγκῃ. — 15 μηδὲ] μήτε L, corr. Br. — 22 γωνὴ L, corr. Lasc. — 25 σῖγα L, corr. G, V. — 27 παρὰ add. Lasc. προσδοκίαν] προσδοκωσι (scr. ἀπροσδοκήτως) G.

ἐστὶν ὁ δὲ ἀσφαλὴς διὰ τὸ νῦν πρῶτον ἐπιχειρεῖν τοιούτῳ κινδύνῳ.

1239 ἀλλ' οὐ τὰν Ἄρτεμιν: ἡ ἀπότασις πρὸς Κλυταιμήστραν· ὅρα δὲ εἰ οἰκεῖα ταῦτα τῇ Ἠλέκτρᾳ παρόντος Ὀρέστου ὁπότε καὶ μόνη οὖσα τοσοῦτον ἐθρασύνετο.

1243 ὅρα γε μὲν δή: ἐπὶ τὴν Κλυταιμήστραν τείνων φησὶν ὅτι τὸν Ἀγαμέμνονα ἀνεῖλεν.

1245 ὀτοττοῖ: ἐπείπερ ὑπέμνησεν αὐτὴν τῆς τοῦ πατρὸς ἀναιρέσεως διὰ τῶν προειρημένων δύο στίχων φησὶν ὅτι ἐνέβαλές μοι κακὸν ἀνέφελον, καλυφθῆναι μὴ δυνάμενον, ἀσκίαστον ὡς ⟨εἰ⟩ ἔφη διάδηλον κακόν.

1246 ἀνέφελον] ὑπὸ μηδεμιᾶς νεφέλης κρυβῆναι δυνάμενον.

1247 οὔ ποτε καταλύσιμον] οὐ καταλυόμενον, ὁ δὲ νοῦς λήθης τυχεῖν μὴ δυνάμενον.

1251 ἀλλ' ὅταν παρουσία: ὅταν ἐπιτρέπῃ ὁ καιρὸς καὶ καλῇ ἢ ὁπόταν ἡ παρουσία τούτων ᾖ καὶ ὁ καιρὸς ἐπιτήδειος· τὸ γὰρ ⟨νῦν⟩ διεξιέναι τὰ κατὰ τὸν Ἀγαμέμνονα δι' ὄχλου ἦν τοῖς θεαταῖς ἐπισταμένοις τὸ πᾶν καὶ περιμένουσιν ἰδεῖν τὰ ἐξ Ὀρέστου γινόμενα.

1253 ὁ πᾶς χρόνος πρέποι τῇ δίκῃ λέγειν με ταῦτα.

1255 τάδε δίκαια] γράφε τάδε δίκᾳ.

1257 τόδε] ποῖον; τὸ ἐλευθεροστομεῖν· τοιγαροῦν ἀντέχου τῆς ἐλευθεροστομίας.

1259 μὴ μακρὰν] ἀντὶ μὴ μακρῶς.

1260 τίς ἄν, φησί, σοῦ φανέντος δικαίως ἕλοιτο ἀντὶ λόγων σιωπήν;

---

12 εἰ add. Lasc. ἔφη] ἔφην L, corr. Lasc. — 19 νῦν add. G. — 21 γενόμενα L, corr. G, V. — 27 σοῦ φανέντος] νοῦς (γνοὺς G, i. e. γε σοῦ ut in versu) ἄφαντος L, corr. Br.

Fol. 30b 1265 ὑπερτέραν] λείπει τὸ χάριν.

1266 τᾶς πάρος — χάριτος] τῆς σῆς παρουσίας.

1276 μὴ ἀποστερήσῃς με, φησί, τοῦ μεθέσθαι τῶν ⟨σῶν⟩ προσώπων καὶ ἀπαλλαγῆναι μετὰ ἡδονῆς ὅπερ μοι παρέσται ἐπὶ πλέον μετεχούσῃ σου καὶ ἀπολαυούσῃ· οὕτω γὰρ ἀπαλλαγήσομαι μετὰ ἡδονῆς, ἐὰν δὲ ἤδη ἀποστερήσῃς ⟨με⟩ σαυτοῦ μετὰ λύπης ἀπαλλαγήσομαι.

1278 ἄλλοισι] τοῖς μὴ χαίρουσι τῇ ἐμῇ παρουσίᾳ.

1281 ὦ φίλαι, ἔκλυον ἂν | ἐγώ: ὦ φίλαι, οἵαν ἤκουσα φήμην περὶ τοῦ ἀδελφοῦ ἀπροσδόκητον ἐφ' ᾗ οὔτε σιωπῆσαι ἂν ἠδυνάμην οὔτε ἀκούσασα βοῆσαι· καὶ γὰρ ἡ ἡδονὴ προετρέπετο αὐτὴν βοῆσαι καὶ ὁ φόβος ὁ περὶ τὸν Αἴγισθον καὶ τὴν μητέρα σιωπῆσαι· ὅμως δὲ ἔχω σε φιλτάτην ἔχοντα πρόσοψιν.

ὁ νοῦς, ἔκλυον αὐδὴν ἣν οὐδέποτε ἤλπισα ⟨ἀκοῦσαι⟩ καὶ ἔσχον τρόπον ἄναυδον τῷ μὴ δύνασθαι βοᾶν οὐδὲ βοῶντός τινος ἀκούειν δυναμένη· οὕτως ἐξέστην ἐμαυτῆς· λέγει δὲ περὶ τῆς ἀπωλείας τοῦ Ὀρέστου ὅτε ἤκουσεν.

1291 ἐμφαντικὸν τὸ συνεχὲς τῆς ταὐτολογίας· ἤρκει γὰρ κἂν ἓν τῶν λελεγμένων.

1292 ἀφαιρεῖται γάρ, φησί, τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι τῶν λόγων ἡ ἀδολεσχία.

1307 εἰκὸς γὰρ καὶ ἔξωθεν ταῦτα πεπύσθαι τὸν Ὀρέστην.

1311 ἐντέτηκέ μοι] πρὸς τὴν μητέρα δῆλον ὅτι.

Fol. 31a 1322 τινὲς τὸν χορόν φασι λέγειν ταῦτα.

---

τὸ
1 χάριν L. — 4 σῶν add. Iahnius. — 7 με addidi. — 9 οἵαν] cf. schol. Ai. v. 641. — 11 οὔτε—οὔτε] οὐδὲ intellegebat ἀπὸ κοινοῦ. — 15 ἀκοῦσαι add. G. — 16 βοᾶν] ἀκούειν L, correxi

τοῦ παιδαγωγοῦ μέλλοντος ἐξιέναι ὁ Ὀρέστης αἰσθόμενος τοῦ ψόφου ἀγνοῶν κελεύει αὐτὴν σιγᾶν διὸ καὶ Ἠλέκτρα ὡς ξένοις διαλέγεται.

1324 τοιαύτην ἀγγελίαν φέροντες ἣν οὐκ ἄν τις ἀπώσαιτο, λαβεῖν τὰ ὀστᾶ, οὐδὲ ἡδέως λάβοι ὅτι κακή ἐστιν.

1326 ἐπιτιμᾷ αὐτοῖς ὅτι φανεροὶ τοῖς ἐχθροῖς γίνονται.

1328 ἐγγενὴς] ἐγγεγενημένος ἢ ἄξιος τοῦ γένους.

1333 οἷον πρὶν ἰδεῖν τὰ σώματα ὑμῶν οἱ ἐχθροὶ ἔγνωσαν ἂν τὰ βουλεύματα τῆς ψυχῆς.

1338 ἐν τοῖς τοιούτοις] καιροῖς.

1344 θαυμαστῶς ὑπὲρ τοῦ μὴ ἐπὶ πλέον διατρίβειν ὡς καὶ Ὀρέστης ἐν τοῖς ἔμπροσθεν

τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες·

ὁ δὲ νοῦς, καὶ τὰ μὴ καλῶς ἀλλὰ κακῶς αὐτοῖς ἔχοντα καὶ αὐτὰ νῦν καλῶς ἔχει ἕως οὐδέπω τιμωρίας τυγχάνουσιν ἅπερ λεγόμενα πρὸς ἄκρον ἐστὶ παροξυντικά.

1346 τίς οὗτός ἐστ', ἀδελφέ;: οὐκ ἠρώτησεν τοῦτο Ὀρέστην πρότερον ἡ Ἠλέκτρα ὑπὸ τῆς χαρᾶς ἀλλ' ἐφύλαξεν νῦν ὁ ποιητὴς εἰς ἕτερον ἀναγνωρισμόν.

1349 οὗ χεροῖν εἰς τὸ Φωκέων πέδον ὑπεξεπέμφθην σῇ προμηθίᾳ.

1366 ταῦτα] τὰ κατ' ἐμέ φησιν. Fol. 31 b

1368 ἐνταῦθα ἀνεκάλυψε τὸ χρήσιμον τῆς ἀποδημίας Αἰγίσθου.

1369 ἐφέξετον] μελλήσετε.

---

5 ἀπώσατο L, corr. Lasc. — 15] v. 1288. — 20 πρότερον] $\overset{o}{\pi\rho}$ ἕτερον L, corr. Lasc. — 25] cf. schol. v. 312.

1372 τὸ οὐδὲν παρέλκει.

1378 λιπαρεῖ — χερὶ] ἀντὶ λιπαρῶς, συνεχῶς.

1379 ἐξ οἵων ἔχω] ὡς δυνάμεως ἔχω, λόγοις ἀξιοῦν, οὐ θύειν.

1382 τἀπιτίμια] τοὺς μισθούς.

1384 ἴδεθ' ὅπου προνέμεται: εἰσεληλύθασι μὲν ἐνταῦθα οἱ περὶ Ὀρέστην καὶ Πυλάδην τοῦτο δὲ ἤτοι ὁ χορός φησι κἂν τῆς Ἠλέκτρας συνεισελθούσης αὐτοῖς καὶ τὸ ἴδετε πρὸς ἀλλήλας φασὶν αἱ [ἀπὸ] τοῦ χοροῦ ἢ ὅτι ἔξω οὖσα ἡ Ἠλέκτρα λέγει πρὸς τὸν χορὸν τοὺς δύο στίχους καὶ οὕτως εἰσέρχεται καὶ ἔστι διάλειμμα ⟨βραχὺ⟩ ὥστε ἐξελθοῦσαν αὐτὴν ἄρχεσθαι τοῦ

ὦ φίλταται γυναῖκες·

παρατήρει δὲ ὅτι ἐπὶ μὲν τῇ τοῦ ἀγγέλου παρουσίᾳ προοικονομεῖ ὁ ποιητὴς ἔξω διατρίβειν τὴν Κλυταιμήστραν δι' ἃς προείπομεν αἰτίας ἐνθάδε ⟨δὲ⟩ τῶν λόγων γενομένων πρὸς τὴν Ἠλέκτραν ἐκ τοῦ Ὀρέστου οὐδὲν λείπει εἰς τὸ ἀνελεῖν τὴν Κλυταιμήστραν ἅπερ ἐν τῷ ἐμφανεῖ ὁ ποιητὴς οὐκ εἰσήγαγεν.

τοῦ Ὀρέστου εἰσελθόντος ὁ χορὸς ταῦτά φησιν.

1385 τὸ δυσέριστον αἷμα φυσῶν: οἷον ὁ Ἄρης συναγελάζεται αὐτοῖς φυσῶν αἷμα καὶ φόνον, δυσέριστον δὲ τὸν δι' ἔριν γινόμενον [κακόν]· τὸ δὲ κακῶν οὐχ ὡς κατηγοροῦσά φησιν (ἐναντίον γὰρ τῷ ἤθει

---

4 (ἀ)ξιοῦν a m. rec. in litura plurium literarum, οὐ θύειν in rasura L. — 8 κἂν] καν L, καὶ G. — 9 φασὶν] φησὶν L, corr. Lasc. ἀπὸ deletum in L om. V. — 12 βραχὺ add. G; cf. schol. Ai. v. 693. — 13] v. 1398. — 16 προείπομεν] in scholio v. 660. ἐνθά δὲ τῶν L, corr. Lasc., δὲ add. Br. — 19 ἐμφανεῖ] ἐμφαίνειν L, corr. Trendelenburgius gramm. iud. p. 89; cf. schol. v. 1495. — 23 κακὸν inclusit Br. κακῶν] κακὸν L, corr. Br.

τοῦ χοροῦ) ἀλλ' ὅτι τὰ τοιαῦτα ἔργα οὐχ ἡδέα τοῖς ἀνθρώποις.

1388 ἄφυκτοι κύνες: ἤτοι εἰς τὸν Ὀρέστην ἀποτείνεται ἐν τῷ ἄφυκτοι κύνες ἢ ἐπὶ τῶν Ἐρινύων, εἰσῆλθον εἰς τὸν οἶκον αἱ Ἐρινύες ἃς οὐκ ἔστι φυγεῖν.

1389 ὥστ' οὐ μακρὰν ἔτ' ἀμμένει: οὐ περὶ τοῦ ὀνείρου τῆς Κλυταιμήστρας φησὶ (τοῦτο γὰρ βίαιον) ἀλλὰ τοῦτό φησιν, ἃ κατ' ἐμαυτὴν ὠνειροπόλουν οὐκ εἰς μακρὰν ἔσται μετέωρα ἀλλ' εὐθέως τελεσθήσεται.

1391 παράγεται γὰρ ἐνέρων|δολιόπους: ἡ Ἐρινὺς ἀφόβως χωροῦσα ἢ δαίμων τις ἁπλῶς βοηθὸς νεκρῶν· ἢ ἐπὶ τοῦ Ὀρέστου, παρέρχεται, φησίν, ἔσω στέγης ὁ Ὀρέστης· ἐνέρων δὲ ἀρωγὸς ἤτοι τοῦ Ἀγαμέμνονος ἢ τῶν χθονίων θεῶν βοηθὸς ὅ ἐστιν ὑπηρέτις.

1393 ἑδώλια] ἑδράσματα.

ἀρχαῖα οἰκήματα.

1394 νεακόνητον αἷμα] τὸ ξίφος τὸ ἠκονημένον εἰς αἷμα καὶ φόνον.

1395 ὁ Μαίας δὲ παῖς: ὁ Ἑρμῆς αὐτὸν ἄγει πρὸς αὐτὸ τὸ τέρμα κατακρύψας σκότῳ τὸν ὑπ' αὐτοῦ γινόμενον δόλον.

Ἑρμῆς.

1398 ἐξερχομένη ταῦτά φησιν.

1400 ἐς τάφον] εἰς τὸ περίδειπνον τὸ ἐπὶ τῷ Ὀρέστῃ δοκοῦντι ἀπολωλέναι.

1402 ἐν τούτοις δῆλον ὅτι εἰσῆλθεν ἐν τοῖς ἔμπροσθεν Ἠλέκτρα.

---

3 εἰς] ἐς L, corr. Lasc. — 11 ἀφόβως] ἀψόφως Wakefieldus. — 13 ἢ] in litura. — 14 θεῶν] θ̄ς L, corr. Lasc. — 15 ἑδράσματα] γρ praefixit m. rec. — 20 κατακρύψαι L, corr. Lasc. — 24 τῷ ἐπὶ τῷ L, corr. Lasc. — 26 ἔμπροσθεν] v. 1384.

Fol. 32 a 1404 αἲ αἴ, ἰὼ στέγαι: ἔθος ἔχουσι τὰ γεγονότα ἔνδον ἀπαγγέλλειν τοῖς ἔξω οἱ ἄγγελοι, νῦν δὲ διὰ τὸ μὴ διατρίβειν ἐν τῷ δράματι οὐκ ἐποίησεν· τούτῳ γὰρ προκείμενον τὸ κατὰ τὴν Ἠλέκτραν ἐστὶ πάθος· νῦν τοίνυν βοώσης ἐν τῇ ἀναιρέσει τῆς [Ἠλέκτρας] Κλυταιμήστρας ἀκούει ὁ θεατὴς καὶ ἐνεργέστερον τὸ πρᾶγμα γίνεται ἢ δι' ἀγγέλου σημαινόμενον· καὶ τὸ μὲν φορτικὸν τῆς ὄψεως ἀπέστη τὸ δὲ ἐναργὲς οὐδὲν ἧσσον καὶ διὰ τῆς βοῆς ἐπραγματεύσατο.

1405 φίλων ἔρημοι] ὁ λόγος ἀποτείνεται πρὸς Αἴγισθον.

1406 βοᾷ τις ἔνδον: οἰκεῖον τὸ διανόημα γυναικῶν, τὸ δὲ ἀνήκουστα οὐχ ὡς καταγινώσκουσαι τοῦ Ὀρέστου φασὶν ἀλλὰ πᾶν τὸ πρᾶγμα ἐκτρεπόμεναι.

1413 ὦ πόλις, ὦ γενεά: ὦ γενεὰ τοῦ οἴκου τούτου, κατὰ ταύτην σε τὴν ἡμέραν ἡ Μοῖρα εἰς φθορὰν καὶ ἐλάττωσιν τοῦ γένους ἄγει.

1417 ζῶσιν] ἀντὶ ἐπεξέρχονται ἑαυτούς.

1420 ὑπεξαιροῦσι] ἐκχέουσι τὸ αἷμα τῶν φονευσάντων οἱ φονευθέντες.

1425 Ἀπόλλων εἰ καλῶς ἐθέσπισεν: οἷον οὐκ ἀπ' ἐμαυτοῦ ἐπιβαλλόμενος ἔπραξα ἀλλὰ πειθόμενος θεῷ.

1428 λεύσσω γὰρ Αἴγισθον] οἷον ὑποστρέψαντα· μετεκέκλητο γὰρ ἴσως ὑπὸ Κλυταιμήστρας.

1434 νῦν, τὰ πρὶν εὖ θέμενοι: τὰ μὲν πρὶν εὖ θέμενοι, τὰ κατὰ τὴν Κλυταιμήστραν, ὡς καὶ ⟨τὰ⟩ ὕστερον εὖ εἴη, τὰ κατὰ Αἴγισθον.

1437 δι' ὠτὸς ἂν παῦρά γε: μὴ ἀνατεταμένως

---

3 τοῦτο L, corr. Trendelenb. p. 46. — 5 Ἠλέκτρας om. G. — 6 ἐναργέστερον G. — 8 ἀπέστη] ἄπεστι Neuius. — 22 ἐπιβαλόμενος? — 26 τὰ addidi. — 27 ὕστερον] ὑμέτερον L, corr. G.

φθέγγεσθαι ἀλλ' ἐλαφρῶς ἐν ὠτὶ λαλεῖν δεῖ μηδὲ μηκύνειν τὸν λόγον.

1438 ὡς ἠπίως ἐννέπειν: γράφε νηπίων, ὡς [ἂν] μικρῶν παίδων ῥήματα οὕτως αὐτῷ ἀφελῶς διαλέγεσθαι δεῖ μὴ ἀνακαλύπτοντας εὐθέως τὸ γεγονὸς κατὰ τὸν οἶκον. γράφε νηπίῳ.

1439 πρὸς ἄνδρα τόνδε συμφέροι: καθ' ὑπερβατόν, συμφέροι ἂν πρὸς τοῦτον τὸν ἄνδρα ὀλίγα δι' ὠτὸς αὐτοῦ ἐννέπειν ὡς [ἂν] ἀνοήτῳ διαλεγόμενον· λείπει δὲ καὶ τῷ λόγῳ, διαλεγόμενον τῷ νηπίῳ· ἢ πρὸς αἰτιατικὴν μετακτέον, πρὸς τὸν ἄνδρα συμφέροι ⟨ἂν⟩ τοῦτον ὡς πρὸς νήπιον ἐννέπειν ὀλίγα διὰ τοῦ ὠτὸς ὅπως [ἂν] ἀπατηθεὶς ἐμπέσοι εἰς τὸν ἀγῶνα τῆς δίκης τὸν λάθρᾳ κατ' αὐτοῦ γινόμενον.

1450 δίδασκέ με] γράφεται μήνυέ μοι. Fol. 32

1457 ἐπισαρκάζουσα τάδε φησίν.

1458 κελεύει ὁ Αἴγισθος ἐμφανῶς δείκνυσθαι τὸ σῶμα τοῦ Ὀρέστου, οἱ δὲ ἐπιδεικνύουσι τὸ τῆς Κλυταιμήστρας.

1462 ἐὰν μὴ πείθηται, πρὸς βίαν κολάσεως τυχὼν ⟨παρ' ἐμοῦ⟩ τότε φύσει φρένας καὶ εἴσεται ὅτι ἄμεινον ἦν πείθεσθαι τῷ κρατοῦντι.

1466 οἷον ἐφθονήθη καὶ ἔπεσεν ὁ Ὀρέστης· εἰ δὲ μέμψις τις ἔπεστιν οὐ λέγω· εἰ δὲ μεμφόμεθα τοῖς περὶ αὐτῷ συμβᾶσιν οὐ λέγω.

---

1 ὠτὶ] τῶι L, correxi; trimeter poetae ἐν τῷ λαλεῖν δεῖ μή τι μηκύνειν λόγον latere videtur Wolffio p. 24, aliis; cf. Nauck. fr. adesp. 381. — 3 νηπίω L. ἂν delevi. — 5 ἀνακαλύπτοντες L, corr. Lasc. — 6 νηπίων] νηπίωι ·ον· L. — 7 ὑπερβατ` L; cf. schol. Oed. Tyr. v. 334. — 9 et 13 ἂν delevi. ἀνοήτῳ] legit νηπίῳ. — 11 αἰτιατικὴν] legit νήπιον. — 12 ἂν addidi. — 13 ἐμπέσῃ G, V. — 21 παρ' ἐμοῦ add. G.

1478 τοῖς θανοῦσιν] τῷ Ὀρέστῃ.

1483 κἂν ἐπὶ μικρὸν] κἂν σμικρόν.

μὴ πέρα λέγειν ἔα] περισσὴ γὰρ καὶ ἀπίθανος διατριβὴ πρὸς τῷ τέλει ἐκτείνειν λόγους.

1488 ταφεῦσιν] οἰωνοῖς καὶ κυσὶ πρόθες αὐτόν.

1493 τόδ'] τὸ ἄταφον αὐτὸν αἰκισθῆναι.

1495 μὴ τάσσε] μὴ ἐπίτασσε.

πρόφασιν πιθανὴν εὗρε τοῦ μὴ ἐν τῷ ἐμφανεῖ φονεῦσαι αὐτόν.

Fol. 33 a 1508 ἀντὶ τοῦ μετὰ πολλῶν καμάτων μόλις ἠλευθερώθης.

τέλος Ἠλέκτρας.

---